ſtram ſuis cogitationibus pervertere cupiunt. hoſce & nos ſequamur, verbis ipſis credentes, non queſtiones nectentes. aiunt enim illi, credimus, non demonſtrationum rationes adducimus. Credamus ergo & nos, ea quæ diximus, ita ſe habere, & ab omni curioſa inquiſitione penitus abſtineamus. neque enim nos, quæ à patribus credita fuerunt, corrigimus: ſed hæc ita à Deo facta fuiſſe, fide intellectum noſtrum cõfirmante, confitemur. adeo ut Chriſtianorum conſortio alienus ſit, quicumq; diverſa

μῖν ἐκτιθέμενοι, καθάπερ τινὰ κανόνα, πᾶσαν ἐπινοιῶν ἀνθρώπων διορθούμενοι. ὥσπερ γὰρ σφαλλομένην αἴσθησιν περὶ τὴν εὐθύτητα τοῦ ξύλου διορθοῦται κανὼν, τῆς διαστροφῆς ἔλεγχος γινόμενος· οὕτως ὁ λόγος οὗτος τῶν ἀνθρώπων διορθοῦται τὴν ἔννοιαν. ἐπινοίας τὴν πίστιν ἡμῶν διαστρέφειν ἐθέλουσι. τούτοις ἑπόμεθα τοῖς λόγοις πιστεύοντες, οὐ προβλήματα πλέκοντες. πιστεύομεν γὰρ εἶπον ἐκεῖνοι, οὐκ ἀποδείξεις τὰς διὰ λόγων παρεχόμενοι. τοιγαροῦν πιστεύσωμεν καὶ ἡμεῖς οὕτως ἔχειν τὰ εἰρημένα, ἀπάσης περιέργου ζητήσεως παντελῶς ἀπε-

χόμενοι. οὐ γὰρ ἀθυμοῦμεν τὰ ὑπὸ τῶν πατέρων πεπιστευμένα. ἀλλ' ὁμολογούμενον τοῦθ' οὕτως γεγενῆσθαι παρὰ Θεοῦ. τῆς πίστεως ἡμῶν βεβαιούσης τὴν ἔννοιαν. ὥστε χριστιανῶν ἀλλότριός ἐστι πᾶς ὁ τῆς ἐκθέσεως ταύτης παρηλλαγμένα φρονῶν, κἂν πιθανόν τι περὶ τῆς πίστεως ἡμῶν λέγειν δοκῇ. οὐδὲ γὰρ οὐδὲ τῶν ἔξω τις ἀπόδειξιν ἀπαιτεῖ τῆς τῶν μαθημάτων ἀρχῆς. ἀλλὰ πίστει παρὰ τοῦ διδασκάλου τὴν ἀρχὴν ὑποδέχεται, οὐδένα κατὰ ταύτης κινῶν λογισμόν. ἀρχὴ τοίνυν τῆς περὶ τοῦ μονογενοῦς πίστεως ἡ ἔκθεσις αὕτη τῶν πατέρων γε-

sa sentit ab hac expositione; etiãsi probabile quid de fide nostra dicere videatur. nam nec quisquam eorũ, qui extra Ecclesiam sunt, principium scientiarũ sibi demonstrari postulat, sed fide à magistro principium suscipit, nullam contra idipsũ controversiam movens: principium ergò fidei de unigenito hæc Patrum expositio est. Cum enim de unigenito disquisitio ab ipsis institueretur, quod tunc tẽporis Arrius, uti nũc Nestorius, super pietatis sementem zizania superseminaret, gloriamque unigeniti

in-

infringere conaretur, & vnigenitum quidem Verbum Patris esse diceret, sed dignitate, & gloria Domini destitutum: idcircò cõgregati tũc temporis Patres, ut & hoc tempore, legẽ pietatis nostræ proponunt; omnibus sophismatis de vnigenito simpliciorũ aures occludentes. ideoque cum de vnigenito ipsis proposita esset disquisitio hanc fidei regulam SS. Patres exposuerũt, principio facto à Patre: licet nulla unquã quęstio de Deo Patre fuerit. Quînam ergò expositionis principium faciunt à Patre,

γένηται. ἐπειδὴ γὰρ περὶ τοῦ μονογενοῦς αὐτοῖς ἡ σκέψις ἐγένετο, τότε Ἀρείου, καθάπερ νῦν Νεστορίου, τῷ σπόρῳ τῆς ἀσεβείας ἐπισπείραντος ζιζάνια, καὶ τοῦ μονογενοῦς τὴν δόξαν παρατιτρώσκειν ἐπιχειρίσαντος. καὶ λόγον μὲν τοῦ πατρὸς εἶναι λέγοντος τὸν μονογενῆ, τῆς δὲ δεσποτικῆς ἀξίας καὶ δόξης ἀπολειπόμενον· τούτου χάριν συναχθέντες οἱ πατέρες καὶ τότε, καθάπερ καὶ νῦν, ποιοῦσι τὴν εὐσέβειαν ἡμῶν νόμον, τοῖς περὶ τοῦ μονογενοῦς πᾶσι σοφίσμασι τὴν τῶν ἁπλουστέρων κλείσαντες ἀκοήν. διὸ καὶ περὶ μονογενοῦς αὐτοῖς προκει-

μθύης τῆς σκέψεως, ὧν τὰ κανόνα τῆς πίστεως οἱ πατέρες ἐξέθεντο, ἀπὸ τοῦ πατρὸς τὴν ἀρχὴν ποιησάμενοι. καὶ μὴν οὐδέποτε ζήτησις ἐγένετο περὶ τοῦ Θεοῦ καὶ πατρός. πῶς οὖν ἀπὸ τοῦ πατρὸς τὴν ἀρχὴν τῆς ἐκθέσεως πεποίηνται, ζητήσεως οὐδεμιᾶς οὔσης περὶ αὐτοῦ; ἀλλά τι σοφὸν καὶ μέγα πρὸς ἀσφάλειαν ἡμῶν τῆς πίστεως κατασκευάζοντες, πρῶτον εἶπον πατέρα. εἰσόμεθα δὲ τὴν σοφίαν αὐτῶν, προσέχοντες αὐτῶν μετ' ἀκριβείας τοῖς ῥήμασι. πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποι-

tre, cum nulla de eo esset quæstio? quoniam sapienti, & magno quodam consilio munimētum fidei nostræ parabant, primo loco nominabant patrem. Sed cognoscemus ipsorum sapientiâ, si verba eorum accuratè attendamus. *Credimus in unum Deum Patrem omnipotentem factorem visibiliũ omnium, & invisibiliũ.* Ecquis eorú, qui sanè sapiunt, atq; intellectu secundum naturam utũtur, hoc ignorat? omnibus quidem hoc manifestum est; sed Patres orationem suam hoc modo ordiuntur, non ut rem omnibus no-

tam dicant: sed quia sicuti unum Patrem, ita & unum Dominum Iesum Christũ noverant, præmittũt Filio unum Patrem: ut quemadmodũ de Patre intellexisti, *unũ Deum omnipotentem*, ita etiam de unigenito Filio unum intelligamus: nec duo sub filii appellatione significari putemus. sicuti enim dicentes unum Patrem nequaquam duplicẽ de eo cogitationem indicunt, sic & unũ dicentes filiũ Dominũ nostrum Iesum Christũ, nullo modo duplicẽ significari volunt. nã in Deo, nec Patris appellatio duo significat,

πτλῆν. τίς γὰρ ἀγνοεῖ τοῦτο τῶν εὖ φρονούντων· ἢ κατὰ φύσιν ταῖς ἐννοίαις χρωμένων; ἅπασι μὲν τοῦτο δῆλον ἐστίν. ἀλλ' οὕτως οἱ πατέρες ἄρχονται τοῦ λόγου, οὐχ ἵνα τὸ πᾶσι γνώριμον εἴπωσιν. ἀλλ' ἐπειδὴ ὡς ἕνα πατέρα, οὕτως καὶ ἕνα ᾔδεισαν κύριον Ἰησοῦν Χριστόν, προτάττουσι τοῦ υἱοῦ τὸν ἕνα πατέρα. ἵν' ὥσπερ ἐπὶ τοῦ πατρὸς τὸν ἕνα νενόηκας Θεὸν παντοκράτορα, οὕτως καὶ περὶ τοῦ μονογενοῦς υἱοῦ, ἕνα νοήσωμεν. οὐδαμοῦ δύο νοοῦντες ὑπὸ τῆς προσηγορίας τοῦ υἱοῦ σημαινόμενα. ὥσπερ γὰρ ἕνα εἰπόντες πατέρα, διπλῆν τὴν περὶ αὐτοῦ οὐκ

ἀπεφλύαντο ἔννοιαν· οὕτως καὶ ἕνα εἰπόντες υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐ βοῦλονται κατ' οὐδένα τρόπον δηλοῦσθαι διττόν. ἐπεὶ γὰρ Θεοῦ οὔτε πατρὸς προσηγορία δύο σημαίνει, οὔτε υἱοῦ τὸ ὄνομα τὰ σημαινόμενα δύο δηλοῖ. τοῦτο μὲν οὖν διδάσκοντες οἱ πατέρες, τῆς περὶ τοῦ ἑνὸς πατρὸς διδασκαλίας ἀρξάμενοι, ἕνα ἐπήγαγον καὶ υἱὸν μονογενῆ, τὸν κύριον ὑμῶν Ἰησοῦν Χριστόν. ἵνα τῇ ἑνότητι τοῦ πατρὸς τὴν περὶ τοῦ ἑνὸς υἱοῦ κατανοήσωμεν ἔννοιαν. ἀλλ' ὁ ἐπεισάκτοις λόγοις τὸ ἁπλοῦν τῆς πίστεως ἡμῶν θολῶσαι θελήσας, κωλυθεὶς δὲ

ficat, nec filii nomen duo significata indicat. hoc ergo docentes SS. Patres, à doctrina de uno Patre exorsi, unum quoq; subjũgunt Filium unigenitum, Dominũ nostrum Iesum Christum: ut unitate Patris unum quoq; intelligendum esse Filiũ cognosceremus. at ille, qui novo verborũ commento simplicitatẽ fidei nostræ perturbare conatur, sed à Christo præpeditus fuit, commune pluribus & filii, & Christi nomen esse asserit: ostium hoc blasphemiis adversus Christum aperiens: & in servatore nostro duas

 ver-

diversas res hisce nominibus significari affirmat; quorum utrumq; unum quidem nomen, res autem duas esse dicit: & appellationẽ quidem unam esse ait, duo autem ponit significata. Sed heus tu, si ut unum Filii nomen dicis, ita unã intelligis rem significatam; unum filium affirmas, & Patres sequeris. Sin unum dicis Filii nomen, & unum Christi nomen ponis; hoc autem nomine diversas substantias significari asseris, non consentis cum SS. Patribus credentibus in unum Dominum Iesum Christum

ὑπὸ Χριστοῦ, κοινὸν πλειόνων ὄνομα λέγει, τό, τε υἱὸς, καὶ τὸ Χριστός. θύραν ταύτην ἀνοίγων τῆς κατὰ Χριστοῦ βλασφημίας. καὶ ἐπὶ τοῦ σωτῆρος δύο πράγματα εἶναι ταῦτα δηλωτικὰ λέγει· ὧν ἕκαστον ἓν μὲν ὄνομα λέγει, τὰ δὲ πράγματα δύο, καὶ τὴν μὲν ὀνομασίαν μίαν εἶναι φησὶ, τὰ δὲ σημαινόμενα δύο τίθεται, ἀλλ' εἰ μὲν ὡς ἓν ὄνομα τοῦ υἱοῦ λέγεις, ὦ οὗτος, οὕτως νοεῖς καὶ πρᾶγμα τὸ σημαινόμενον ἕν, ἕνα λέγεις υἱὸν, καὶ ἀκολουθεῖς τοῖς πατράσιν· εἰ δὲ τὸ ὄνομα τοῦ υἱοῦ λέγεις ἕν, καὶ τὸ Χριστὸς ὄνομα τίθῃ ἕν,

ὑπὲρ δὲ τοῦ ὀνόματος τούτου οὐσίας διαφόρους σημαίνεσθαι λέγεις, οὐ συμφωνεῖς τοῖς πατράσι, πιστεύσασιν εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν οὕτως, ὡς ἐπίστευσαν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα. εἰ μὲν γὰρ περὶ ὀνόματος ἦν ἡ σκέψις αὐτοῖς, καὶ ἔλεγον ἕνα υἱὸν, εἶχε σοῦ χώραν τὸ σόφισμα, τιθεμένου τὸ μὲν ὄνομα ἓν, τὰ δὲ σημαινόμενα πλείω. Εἰ δὲ ὀλίγος μὲν αὐτοῖς περὶ τῶν ὀνομάτων ὁ λόγος ἐγένετο, ἕνα δὲ μονογενῆ τὸν υἱὸν προσηγόρευσαν, τί περιπλέκῃ προσηγορίᾳ, καταλιπὼν τὸ δηλούμενον; καὶ ὅπερ ἐκεῖνοι λέγουσιν ἐν προσέχοντες.

ſtum eodē modo, uti crediderant in unum Deum Patrem omnipotentem, nam ſi de nomine apud eos quæſtio eſſet, atque unum Filiū dicerent, tum tua cavillatio haberet locum; qui nomen quidem unū, ſignificata autē plura ponis. Si verò nominum apud eos exigua fuerit ratio, unum autē unigenitum Filiū appellarint; quid relicto ſignificato nomini inhæres? quodque illi rem ipſam attendentes unum dicunt, id tu ut unum nomen, res plures ſignificans, exponis? nam & hanc SS. Patrum de Filio locutio-

nem interpretãs Nestorius in literis, quibus Cyrillo Archiepiſcopo Magnæ Alexandriæ reſpondet, qui liberis verbis defenderat pietatem, & per epiſtolam deſerendi erroris auctor illi, fuerat, atque ad redarguẽdum ipſum, fidem trecentorum & octodecim Patrum propoſuerat: huic, inquam Neſtorius in hæc verba reſcribit: *& ſi aures mihi ad fraternam medelam præbueris, ipſas tibi Sanctorum illorum voces adducam, vindicans eas à calumnijs, quæ & ipſis, & per eas divinis literis affinguntur.* deinde appoſitis Sancto-

τῷ πράγματι, τοῦτο οὐ ὡς ὄνομα ἕν, πλειόνων πραγμάτων ἐκτίθη σημαντικόν. καὶ γὰρ καὶ ταύτην περὶ τοῦ υἱοῦ τὴν λέξιν τῶν πατέρων ἑρμηνεύσας Νεστόριος, ἐν οἷς ἀντεπιστέλλων γράφει τῷ τῆς μεγάλης Ἀλεξανδρείας ἀρχιεπισκόπῳ Κυρίλλῳ, παρρησιασαμένῳ περὶ τοῦ λόγου τῆς εὐσεβείας, καὶ διὰ γράμματος αὐτὸν μεταστῆσαι τῆς πλάνης βουλευσαμένῳ, καὶ πρὸς δυσώπησιν ἐκθεμένῳ τὴν πίστιν τῶν ὀκτωκαίδεκα καὶ τριακοσίων πατέρων, ἀντεπιστέλλων Νεστόριος αὐταῖς ταῖς λέξεσι ταῦτα φησί· κἂν μοι τὰς ἀκοὰς εἰς ἀ-

δελφικὴν ἰατρείαν παραδοχῆς, αὐτάς σοι τὰς τῶν ἁγίων ἐκείνων φωνὰς παραθήσομαι. τῆς κατ' ἐκείνων ἀπαλλάξας συκοφαντίας, καὶ τῆς κατὰ τῶν θείων γραφῶν δι' ἐκείνων. Εἶτα τὴν λέξιν τῶν πατέρων παραθεὶς οὕτω φησί. πιστεύω τοίνυν καὶ εἰς τὸν κύριον Ἰησοῦν Χριστόν. εὐθὺς οὖν ἐνταῦθά μοι σκόπει κλοπὴν ἀναιδῶς τολμωμένην. ἐπειδὴ γὰρ οἱ πατέρες ἕνα νοεῖσθαι θέλοντες τὸν υἱὸν, εἶπον, πιστεύομεν καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ, κλέπτει τῆς λέξεως τῶν πατέρων τὸ, ἕνα, ἵνα ἔχῃ χώραν συναγαγεῖν υἱοὺς δύο

ctorum Patrũ dictis ita subjungit. *Credo igitur in Dominum Iesum Christum*. Hic statim fraudem impudentissimam animadverte. nam cum SS. Patres unum Filium intelligi volentes, dixerint: *Credimus in unum Dominũ Iesum Christum*: suffuratur ex verbis Sãctorum Patrum vocem, *unum*, ut locum habeat introducendi duas significationes vocis, *filii*, sed deprehensus es in furto, ò bone vir: subtrahens id, quod in fide nostra præcipui momẽti est. neque enim illi dixerũt: Credimus etiam in Dominum

Iesum Christum, ut tu falsarius affirmas. sed dicentes: *Credimus in unum Deũ Patrem omnipotentẽ*: subjungebant: *& in unũ Dominum Iesum Christum*. Tù verò subtracta voce, *unũ*, quæ de Filio dicta fuerat, hoc furto januam errori aperis: ut dicere queas, & vocis filii, & Christi duas esse significationes: quarum altera naturâ, altera gratiâ gloriosũ ostendat: & ut hac ratione Christianos seducere possis, ne pro nobis crucifixum colant; quippe per gratiam præ aliis à Deo gloriâ ornatum. iis enim qui per na-

τὰ σημαινόμενα. ἀλλ' ἐφωράθης, ὦ βέλτιστε, τὸ καίριον τῆς πίστεως ἡμῶν ὑφελόμενος. οὐ γὰρ εἶπον ἐκεῖνοι, πιστεύομεν καὶ εἰς τὸν κύριον Ἰησοῦν Χριστὸν, ὡς σὺ παραλογισάμενος ἔφης, ἀλλ' εἰπόντες, πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ἐπήγαγον, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν. σὺ δὲ τὸ, ἕνα, ὑφελόμενος περὶ τοῦ υἱοῦ εἰρημένον, ἐκ τῆς κλοπῆς ταύτης θύραν ἀνοίγεις τῇ πλάνῃ. ἵν' εἰπεῖν δυνηθῇς, καὶ υἱοῦ καὶ Χριστοῦ δύο τὰ σημαινόμενα. καὶ τὸ μὲν, φύσει τὴν τιμὴν, τὸ δὲ χάριτι κεκτημένον. καὶ οὕτως ἀπο-

tu-

στῆσαι δυνηθῆς χριστιανοὺς σέβειν τὸν ὑπὲρ ἡμῶν ἐσταυρωμένον, ὡς κατὰ χάριν παρὰ σοῦ ἄλλους τετιμημένον παρὰ Θεοῦ. τοῖς γὰρ ἔχουσι τὸ κατὰ φύσιν, οὐ χρεία τῆς κατὰ χάριν Θεοῦ. ὅπη μοι καὶ θαυμάζειν ἐπέρχεται, πῶς τὰ καίρια τῆς τῶν πατέρων ἐκθέσεως Νεστόριος περιελὼν, ἵνα ταῦτα κατασκευάσῃ, τῇ ἐκθέσει τῆς πίστεως αὐτῶν ζυντίθεσθαι λέγει. εἰ γὰρ ζυντίθεται τοῖς εἰρημένοις μὴ κλεπτέτω τὸ καιριώτερον. εἰ δὲ τῆς ἐκθέσεως τῶν πατέρων ὑφαιρεῖ, ὃ τὴν αὐτῶν μάλιστα πίστιν δηλοῖ, ὡς ταῖς σαῖς ἐννοίαις πολέ-

turam quid obtinēt, non opus est, ut habeant per gratiā Dei. ubi etiam mirari subit, quînam Nestorius ea, quæ præcipuè ad rem faciunt, ex Patrum expositione subtrahens, ut obtegat hæc ipsa, se se expositionem fidei ipsorum probare dicat. Si enim probet quæ dixere, non subtrahat id quod maximè ad rem pertinet. Si autem de Patrum expositione id subtrahit, quod fidē ipsorum maximè indicat, tanquam opinionibus suis repugnans; quid cum illis te consentire dicis, quibus obtemperare

non

non velis ? sed Patrū auctoritatem veluti escam proprio errori apponens, simpliciores hac ipsa in errorē trahis, simulans quidem te antiquā prætendere fidem; sed ad proprium errorem verborū subtractionibus eam pervertēs. Quoniam verò idem ille nomē Iesu solius humanæ naturæ appellationem vocat: hoc enim nomen, inquit imposuit Virgo infanti, secundùm Angeli prędicationē, dicentis: *vocabis nomen ejus Iesum*. Et hoc continuò in ore versans in suo adversus Magnum, & Sanctissimum Episcopum Cy-

μιον, πῶς συμφωνεῖν λέγῃς, οἷς πείθεσθαι μὴ θέλῃς; ἀλλὰ δέλεαρ τῇ ἑαυτοῦ πλάνῃ τὸ τῶν πατέρων ἀξίωμα προθεὶς, τούτῳ πρὸς τὴν ἀπάτην ἕλκεις τοὺς ἁπλουστέρους. προβάλλεσθαι μὲν πίστιν ἀρχαίαν σκηπτόμενος, αὐτὴν δὲ ταύτην πρὸς τὴν ἑαυτοῦ πλάνην ταῖς τῶν λόγων κλοπαῖς παρατρέπων. ἐπειδὴ δὲ καὶ αὐτὸς, ὁ Ἰησοῦς ὄνομα, τῆς ἀνθρώπου φύσεως μόνης προσηγορίαν καλεῖ. ταύτην γὰρ ἔθετό φησι τὴν ὀνομασίαν ἡ παρθένος τῷ βρέφει, κατὰ χρησμὸν τοῦ ἀγγέλου λέγοντος· καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. καὶ τοῦτο στρέφων

Cy-

ξυνεχῶς ἐν τῷ πρὸς τὸν μέγαν καὶ ἁγιώτατον ἐπίσκοπον Κύριλλον γράμματι, λέγει τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. καὶ ἑξῆς ἐγεννήθη ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ εὗρον τὸν Ἰησοῦν ἐν μέσῳ τῶν διδασκάλων. πανταχοῦ τὴν ἀνθρωπείαν φύσιν τῇ τοῦ Ἰησοῦ προσηγορίᾳ καλεῖσθαι βουλόμενος. ὅρα πῶς ἡ τῶν πατέρων παράδοσις παμψηφεὶ παντελῶς ταύτην αὐτοῦ ἀνατρέπει τὴν ἔννοιαν. αὐτὸν γὰρ τὸν ἐκ πατρὸς γεννηθέντα ὁμοούσιον τῷ πατρὶ ἐκάλεσαν καὶ Ἰησοῦν καὶ Χριστὸν καὶ υἱὸν τοῦ Θεοῦ. μηδαμοῦ μηδέ-

Cyrillum, ſcripto ait; *Cum ergò natus eſſet Ieſus in Bethlehem Iudeæ*. Item *de qua natus eſt Dominus Ieſus Chriſtus*. Item: *invenerunt Ieſum in medio Doctorum*: ubique appellatione Ieſu humanam naturam indigitari volens. Ecce ut Patrum traditio unanimi ſuffragio hanc ejus ſententiam omninò ſubvertat! nam illum ipſum ex Patre natum, conſubſtantialē Patri, & Ieſum, & Chriſtum, & Filiū Dei appellarūt: nuſpiam alterum ab alterutro proprietatibus ſeparantes. nam cum dicerent: *Credimus etiam in unum Domi-*

minum Iesum Christũ, subjungebant, *filium Dei*: hunc ipsum intelligentes, ne alium quidem hunc, alium verò intelligas illum unigenitum, natum ex Patre, hoc est ex substantia Patris: unũ scilicet, atque eundem. nam etiamsi aliquid dicant, quod non intelligimus secundum naturam, unio tamen idipsum verum esse ostendit. ideoque de Filio dicebant: *Deum de Deo, lumen de lumine, Deum verum de Deo vero, consubstantialem Patri, per quem omnia facta sũt*. hunc eundem cum isto intelligentes: quandoqui-

περὶ τοῦ ἑτέρου διϊστῶντες τοῖς ἰδιώμασιν· εἰπόντες γὰρ, πιστεύομεν καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, ἐπήγαγον, τὸν υἱὸν τοῦ Θεοῦ· τοῦτον εἰπόντες, ἵνα μὴ ἕτερον μὲν τοῦτον, ἕτερον δὲ ἐκεῖνον νοῇς, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ· τὸν αὐτὸν δηλονότι, τουτ' ἔστιν ἐκ τῆς οὐσίας τοῦ πατρός. Εἰ γὰρ καὶ τι λέγουσιν ὃ οὐ ξυνίσμεν τῇ φύσει, ἀλλ' ἡ ἕνωσις αὐτὸ δείκνυσιν ἀληθές· διὸ καὶ περὶ τοῦ υἱοῦ ἔλεγον, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο. τοῦτον ἐκεῖνον νοοῦντες,

ἐπειδὴ πρότερος ἐκεῖνος, γέγονεν οὗτος. διὰ τοῦτο τὸ Ἰησοῦς εἰς τὸ τοῦ μονογενοῦς σημαινόμενον ἐρῶσιν, ἕνα καὶ τὸν αὐτὸν εἰδότες Θεόν τε λόγον καὶ γενόμενον ἄνθρωπον. Νεστόριος δὲ τὸν Ἰησοῦν ὡς γάλακτι τραφέντα ἐξουθενεῖ· καὶ ὡς χρόνοις αὐξηθέντα ὑπερορᾷ· καὶ ὡς περιτομὴν δεξάμενον ἀποστερεῖ τῆς θεότητος. οὐκ αὐτοῦ παραβλάπτων τῆς θεότητος τὴν ἀξίαν· ἀλλ' οὗτος ἑαυτὸν ἀποστερήσας καὶ δόξης καὶ σωτηρίας. καὶ ταῦτα λέγων τῇ ἐκθέσει τῆς πίστεως λέγει θαῤῥεῖν. ἀλλ' οὐχ οὕτως ὦ οἱ ἐπὶ τῆς νικαίας πατέρες τὸν Ἰησοῦν

quidē cum prius esset iste, factus est hic. quapropter nomē Iesu ad unigeniti significationē proferunt, unum eundemq; sciētes, & Deum Verbum, & hominem factum. Nestorius autem Iesum veluti lacte nutritum nihili facit: & ut annis crescētem despicit: & ut circumcisionem suscipiēntē deitate privat: non deitatis illius majestatem lædens; sed ipse semetipsum & gloria, & salute privans. Et dum hæc dicit, fidei expositione se niti ait. Sed Nicæni Patres, ò bone vir, Iesum non tam contume-

lio-

liosè tractarunt: sed vocabant ipsum filium Dei unigenitum, genitum non factum, consubstantialem Patri: eo quod arctissima unio secūdum dispensationem hunc illum efficiat. quandoquidem & iste antea non mutatus factus est hic. non enim mutatus est quoad naturam, sed mirabiliter effecit dispensationis unionē. quapropter SS. Patres post unionē Dei ad hominem non jā amplius duas res intelligentes, meritò cum Iesum dicunt, Deum Verbum designant, & secundum Theologum loquentes

ἐνύβρισαν βέλτιστε· ἀλλ' ἐκάλεσαν αὐτὸν υἱὸν τοῦ Θεοῦ μονογενῆ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί. τῆς κατὰ τὴν οἰκονομίαν ἀκριβεστάτης ἑνώσεως τοῦτον ποιούσης ἐκεῖνον· ἐπειδὴ κἀκεῖνος πρότερος ἀναλλοίωτος γέγονεν οὗτος. οὐ γὰρ μετεβλήθη τὴν φύσιν· ἀλλ' ἐθαυματούργησε τῆς οἰκονομίας τὴν ἕνωσιν οὐκέτι οὖν μετὰ τὴν ἕνωσιν Θεοῦ πρὸς ἄνθρωπον δύο πράγματα νοήσαντες οἱ πατέρες, εἰκότως Ἰησοῦν λέγοντες, τὸν Θεὸν λόγον σημαίνουσι, καὶ κατὰ τὸν θεολόγου φράζοντες, λόγον τὸν ὁρώμενον Ἰησοῦν ἑρμηνεύουσιν· οὐ τὰς φύσεις

tes

συγχέοντες, ἀλλὰ δηλοῦντες τὴν ἕνωσιν. διὰ τοῦτο ἐκ Θεοῦ γεννηθέντα, καὶ οὐ ποιηθέντα, τὸν ἐκ Μαρίας Ἰησοῦν, καὶ τὸν κύριον τῆς δόξης σταυρωθῆναι λέγουσιν αἱ θεῖαι γραφαὶ, Παύλου λέγοντος. Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν ἵνα κατὰ μηδὲν διαστήσῃς τὸν κύριον τῆς δόξης, τοῦ προσηλωθέντος τῷ ξύλῳ. ἡ γὰρ ἕνωσις τοῦτον τὸν λόγον τὸν ἀπαθῆ πεπονθέναι τὰ τοῦ παθητοῦ παρεσκεύασε. τοῦτο γάρ ἐστιν ἕνωσις, ὃ τὰ ἴδια τῶν ἑνωθέντων εἰς ἓν ξυνελθεῖν. ὡς δὲ ταῦτα περὶ τοῦ υἱοῦ λέγεσθαι, κἀκεῖνα. διὰ τοῦ-

tes Verbum quod oculis videbatur, Ieſum interpretantur: non confundētes naturas, ſed unionem oſtendentes. propterea Ieſum Mariæ filium ex Deo genitum, & non factum; item Dominum gloriæ crucifixum ſacræ literæ affirmant, Paulo dicente: *Si enim cognoviſſent nequaquam Dominum gloriæ cruciſixiſſent.* ut ſecundum nihil omninò Dominum gloriȩ ab eo, qui ligno affixus fuit, ſepares. Vnio enim effecit ut Verbum hoc impaſſibile ea, quæ paſſibilis naturȩ erant pateretur. Illud enim unio eſt, quod

quod unitorum propria in unum conueniant. ita ut & hæc, & illa de Filio dicantur. ideò Apostolus, *Dominum gloriæ crucifixum* esse dicit. rursumque nobis ait: *unus Dominus Iesus Christus per quem omnia*. & illum Iesum intelligens, & hunc Dei Verbum appellans, per quem omnia facta sunt. unde & Nicæni Patres, ponētes Dominum Iesum Christum, unum dixerunt filium unigenitum, non appellatione, aut honore tantum, sed re ipsa. quocirca etiam hunc

τὸ ὁ ἀπόστολός φησιν. ὅτι ὁ κύριος τῆς δόξης ἐσταύρωται. καὶ πάλιν λέγει ἡμῖν· Εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. κἀκεῖνον νοῶν Ἰησοῦν, καὶ τοῦτον Θεοῦ λόγον καλῶν, δι' οὗ τὰ πάντα ἐγένετο. ὅθεν καὶ οἱ ἐπὶ τῆς Νικαίας πατέρες, θέντες κύριον Ἰησοῦν Χριστὸν, ἕνα εἰρήκασιν υἱὸν μονογενῆ. οὐ τῇ προσηγορίᾳ, οὐδὲ τῇ τιμῇ μόνῃ, ἀλλ' αὐτῷ τῷ πράγματι. διὸ καὶ ἐκάλεσαν τοῦτον ὁμοούσιον τῷ πατρὶ, καὶ δι' ἡμᾶς σαρκωθέντα, καὶ πάθοντα, θαυματουργηθείσης ἑνώσεως, οὐ συγχυθείσης τῆς φύσεως. Εἰ γὰρ οὐκ ἠλλοιώθη ἡ παρ-

consubstantialem Patri, & propter nos incar-

car-

θένος ἢ μήτηρ ἐγένετο. οὐδὲ ἀλλοιωθείσης παρθενίας τόκος ἐγένετο; Θεοῦ θαυματουργήσαντος παρθένῳ τὸν τόκον, τί θαυμάζεις, εἰ ἐν ἀπαθεῖ φύσει θελήσας Θεὸς ὑπεδέξατο πάθος, οὐκ ἀποθέμενος τὴν ἀπάθειαν; ὁ γὰρ μὴ δεηθεὶς λῦσαι παρθενίαν, ἵνα ποιήσῃ μητέρα· οὗτος παθεῖν βουληθεὶς, οὐκ ἐδεήθη τὴν ἑαυτοῦ δύναμιν μεταβαλεῖν. ἔχει γὰρ δύναμιν θαυματουργοῦσαν τί κρεῖττον τῶν λόγων τῆς φύσεως. διὰ τοῦτο καὶ Θεὸς ἔμεινε, καὶ γέγονεν ἄνθρωπος, καὶ Ἰησοῦς, καὶ Χριστὸς, καὶ λόγος

carnatum, passumq; dixerunt: unione mirabiliter facta, non naturâ confusâ. Si enim Virgo mutata non fuit, & mater facta est: nec mutata virginitate partus cōtigit, Deo miraculosè Virgini partum producēte; quid miraris, si Deus in passibili natura volens passionem suscepit, non impassibilitatem deponens? qui enim opus nō habebat virginitatem solvere, ut matrem faceret; ille pati volens non opus habebat virtutem suā mutare. habet enim virtutem miraculosè aliquid perpetrantem supra naturæ rationes: propterea &

Deus mansit, & homo factus est; & Iesus, & Christus, & Verbum appellatur item: patitur, & impassibilis secundum naturã permanet: crucifigitur etiam, & incomprehensibilis secundum substantiam manet; & mortem suscipit, & mortis imperium obtinet; illa quidem miraculosè perpetrans, tanquam Deus existens: hæc autem sustinens, utpote homo factus. ita hic, & moritur, & à morte non detinetur & patitur, & passiones solvit: hæc quidem operans deitate; illa autem propria carne sustinens

προσαγορεύεται· καὶ πάσχει, καὶ ἀπαθὴς μένει τὴν φύσιν· καὶ σταυροῦται καὶ κατ' οὐσίαν ἀχείρωτος μένει· καὶ θάνατον δέχεται, καὶ θανάτου κατακρατεῖ. τὰ μὲν θαυματουργῶν, ὡς ὢν Θεός· τὰ δὲ ὑπομένων, ὡς γενόμενος ἄνθρωπος· οὕτως οὗτος καὶ ἀποθνήσκει, καὶ οὐ κρατεῖται θανάτῳ· καὶ πάσχει, καὶ παθήματα λύει. τὰ μὲν, ἐνεργῶν τῇ θεότητι· τὰ δὲ ὑπομένων τῇ ἰδίᾳ σαρκί. αὐτὸς ὑπομένων, οὐκ ἄλλον ὑπομένοντα βλέπων· ταῦτα γὰρ καὶ Πέτρος περὶ Ἰησοῦ τοῦ Ναζωραίου πρὸς Ἰουδαίους διαλεγόμενος, ἔλεγεν αὐτοῖς

λέξεσιν οὕτως εἰπών· ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους· Ἰησοῦν τὸν Ναζωραῖον, ἀπὸ τῆς κάτω πατρίδος καλεῖ, ὕστερον δὲ Υἱὸν Θεοῦ σημαίνει. τὸ γὰρ τέλος δείκνυσι τοῦ λόγου ἕνα καὶ τὸν αὐτὸν ὄντα ἐπίγειόν τε καὶ οὐράνιον· τὸν αὐτὸν καὶ ἐκ τῶν κάτω χωρίων, καὶ ἐκ τῆς ἄνω δόξης ὁρμώμενον. τὸ μὲν ὄντα πρὸ τῶν αἰώνων· τὸ δὲ δι' ἡμᾶς γενόμενον ὕστερον. ἄνδρες γάρ, φησίν, Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους. Ἰησοῦν, τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ἡμᾶς δυνάμε-

nens . ipſe, inquam, ſuſtinẽs, nõ alium ſuſtinentem videns: nã & Petrus Iudæos alloquens, eadem de Ieſu Nazareno iiſdẽ verbis dixit, dum ita ait: *Viri Iſraëlitæ audite verba hæc: Ieſum Nazarenum*; à terrena patria ita vocat: poſtea verò filiũ Dei eſſe ſignificat: finis enim ſermonis oſtendit unum eundemq; & terrenum, & cæleſtem eſſe. eumdem & ex inferiori hac regione, & ex ſuperna gloria procedentẽ. quorum quidem alterum fuit ante ſecula: alterum verò poſtea propter nos factus eſt. ait enim; *Viri Iſraëlitæ, audite ver-*

Deus mansit, & homo factus est; & Iesus, & Christus, & Verbum appellatur. item: patitur, & impassibilis secundum naturã permanet: crucifigitur etiam, & incomprehensibilis secundum substantiam manet: & mortem suscipit, & mortis imperium obtinet: illa quidem miraculosè perpetrans, tanquam Deus existens: hæc autem sustinens, utpote homo factus. ita hic, & moritur, & à morte non detinetur & patitur, & passiones solvit: hæc quidem operans deitate; illa autem propria carne sustinens

προσαγορεύεται· καὶ πάσχει, καὶ ἀπαθὴς μένει τὴν φύσιν· καὶ σταυροῦται καὶ κατ' οὐσίαν ἀχείρωτος μένει· καὶ θάνατον δέχεται, καὶ θανάτου καταχρατεῖ. τὰ μὲν θαυματουργῶν, ὡς ὢν Θεός· τὰ δὲ ὑπομένων, ὡς γενόμενος ἄνθρωπος. οὕτως οὗτος καὶ ἀποθνήσκει, καὶ οὐ κρατεῖται θανάτῳ· καὶ πάσχει, καὶ παθήματα λύει. τὰ μὲν, ἐνεργῶν τῇ θεότητι· τὰ δὲ ὑπομένων τῇ ἰδίᾳ σαρκί. αὐτὸς ὑπομένων, οὐκ ἄλλος ὑπομένοντα βλέπων ταῦτα. γὰρ ὁ Πέτρος περὶ Ἰησοῦ τοῦ Ναζωραίου πρὸς Ἰουδαίους διαλεγόμενος, ἔλεγεν αὐτοῖς

λέξεσιν οὕτως εἰπών· ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τῶν λόγους τούτους· Ἰησοῦν τὸν Ναζωραῖον, ἀπὸ τῆς κάτω πατρίδος καλεῖ, ὕστερον δὲ Υἱὸν Θεοῦ σημαίνει. τὸ γὰρ τέλος δείκνυσι τοῦ λόγου ἕνα καὶ τὸν αὐτὸν ὄντα ἐπίγειόν τε καὶ οὐράνιον· τὸν αὐτὸν καὶ ἐκ τῶν κάτω χωρίων, καὶ ἐκ τῆς ἄνω δόξης ὁρμώμενον. τὸ μὲν ὄντα πρὸ τῶν αἰώνων· τὸ δὲ δι' ἡμᾶς γενόμενον ὕστερον. ἄνδρες γάρ, φησίν, Ἰσραηλῖται, ἀκούσατε τῶν λόγους τούτους. Ἰησοῦν, τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ἡμᾶς δυνάμε-

nens, ipse, inquam, sustinēs, nō alium sustinentem videns: nā & Petrus Iudæos alloquens, eadem de Iesu Nazareno iisdē verbis dixit, dum ita ait: *Viri Israëlitæ audite verba hæc: Iesum Nazarenum*; à terrena patria ita vocat: postea verò filiū Dei esse significat: finis enim sermonis ostendit unum eundemq; & terrenum, & cælestem esse: eumdem & ex inferiori hac regione, & ex superna gloria procedentē. quorum quidem alterum fuit ante sęcula: alterum verò postea propter nos factus est. ait enim; *Viri Israëlitæ, audite ver-*

ba hæc; Iesum Nazarenum virum approbatum à Deo in vobis, virtutibus, & prodigijs, & signis, quæ fecit Deus per illum in medio vestri, sicut & vos scitis: hunc definito consilio, & præscientiâ Dei traditum, per manus iniquorum affigentes interemistis: quẽ Deus suscitavit solutis doloribus mortis: ostẽdens vnum eundẽq; & hominem esse, & Deum, qui à morte teneri non poterat. mortuus enim est, inquit, & impossibile erat teneri illum à morte. Nam mortuum esse hominem indicat: à morte autem teneri non posse,

σι, καὶ τέρασι, καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε· τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει Θεοῦ ἔκδοτον λαβόντες διὰ χειρῶν ἀνόμων, προσπήξαντες ἀνείλετε· ὃν ὁ Θεὸς ἀνέστησεν ἐκ νεκρῶν, λύσας τὰς ὠδῖνας τοῦ θανάτου. ἕνα καὶ τὸν αὐτὸν δεικνὺς ἄνθρωπόν τε ὄντα, καὶ Θεὸν ἀχείρωτον τῷ θανάτῳ. καὶ γὰρ ἀπέθανε, φησὶ, καὶ οὐκ ἦν δυνατὸν αὐτὸν ὑπὸ τοῦ θανάτου κατέχεσθαι. τῷ μὲν, ἀπέθανε, δηλῶν ἄνθρωπον· τῷ δὲ μὴ δύνασθαι κατασχεθῆναι θανάτῳ, μηνύει Θεόν. ἕνα καὶ τὸν αὐτὸν Θεόν τε ὄντα, καὶ

arguit

ἄνθρωπον γεγονότα δηλῶν. Διὰ ταῦτα καὶ οἱ ἐπὶ τῆς Νικαίας Πατέρες ἵνα μὴ τὸν Ἰησοῦν θετόν τινα ὑπολάβωμεν Υἱὸν τοῦ Θεοῦ, καὶ ἕτερον τὸν κατὰ φύσιν Υἱόν. οὕτω γὰρ φρονοῦσιν οἱ πεπλανημένοι, τοῦ σταυρωθέντος διϊστῶντες τὸν κατὰ φύσιν. ἵν᾽ ἐκείνου φειδόμενοι, τοῦτον καταφρονήσωμεν, καὶ Υἱὸν Θεοῦ προσκυνήσαντες, ὃν καὶ Πλάτων ὁμολογεῖ, τὸν Χριστὸν ἀθετήσωμεν. μόνην τὴν τετιμημένην φύσιν ἀνθρώπου Ἰησοῦν ὀνομάζουσι, καὶ κάτω τὴν προσηγορίαν ταύτην κατέχουσι, καὶ ἐκείνου χωρίζοντες [illegible]

arguit Deum: unum eundemq; & Deum existentem, & hominem factum significans: ideoque Nicæni Patres ne Iesum adoptivum quēdam filium Dei, & alium secundum naturam filium suspicemur: (ita enim errore decepti sentiunt distinguenres illum, qui secundùm naturam est, à crucifixo: ut illum admittentes, hunc contemnamus: & filium Dei adorantes, quem & Plato confitetur, Christum repudiemus; solam humanam naturam honore provectam Iesum nominant, atq; eam appellationem deorsum detinent, & ab

altero illo tàm re, quã naturæ & proprietatibus separant) horum opinionem subvertẽtes, dicunt Iesum: hunc *genitum ex patre*: & subjungunt; *hoc est ex substãtia ejus*: quod & Magnus Apostolus Petrus à Domino unà cum reliquis Apostolis interrogatus fecit: cum enim Dominus ipsis diceret: *quem me dicunt homines filium hominis?* nonnulli respondebant dicentes: *alij Ioannem Baptistam, alij autem Eliam, alij verò Ieremiam, aut unum ex Prophetis*: deindè cum Dominus ostẽderet eos, qui hujusmodi dicebant Filium

καὶ πράγματι, καὶ τοῖς τῆς φύσεως ἰδιώμασι. τούτων ἀναιροῦντες τὸ φρόνημα, λέγουσι τὸν Ἰησοῦν, τοῦτον γεννηθέντα ἐκ τοῦ πατρός. καὶ ἐπάγουσι, τουτέστιν, ἐκ τῆς οὐσίας αὐτοῦ. ὃ δὴ καὶ ὁ μέγας Πέτρος ἐποίησεν ἐπερωτηθεὶς ὑπὸ τοῦ Κυρίου μετὰ τῶν λοιπῶν ἀποστόλων· ἐπειδὴ γὰρ πρὸς αὐτοὺς ὁ Κύριος φησί· τίνα με λέγουσιν οἱ ἄνθρωποι τὸν Υἱὸν τοῦ ἀνθρώπου; τινὲς μὲν ἀπεκρίναντο λέγοντες· οἱ μὲν Ἰωάννην τὸν Βαπτιστήν· οἱ δὲ Ἠλίαν· ἕτεροι δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. Εἶτα τοῦ κυρίου δεικνύοντος, ὅτι οἱ τοιοῦτο

λέγοντες τιμᾶσι μὲν ὡς υἱὸν τοῦ ἀνθρώπου, τῆς δὲ ἀληθείας ἀπολιμπάνονται· ἐρωτᾷ τοὺς ἀποστόλους, εἰ τι φρονεῖν ἔχοιεν μεῖζον περὶ αὐτοῦ, καὶ φησί. ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀλλὰ πρόσεχε ὅτι ταῦτα λέγει, τὴν πεῦσιν περὶ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ποιούμενος. πρὸς ὃν ἀποκριθεὶς ὁ Πέτρος φησί. σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς Θεοῦ ζῶντος. οὐκ ἄνθρωπον εἰπὼν αὐτὸν ὡς πολλοὶ τετιμημένον τῇ χάριτι· ἀλλ' αὐτὸν ὁμολογήσας εἶναι τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, δηλαδὴ γενόμενον ἄνθρωπον, καὶ τοῦτον ἐκεῖνον γνωρίσας,

Hominis quidem honorare, sed rei veritatem non attingere: interrogat Apostolos numquid sublimius de ipso sentirent, & ait; *Vos autem quem me esse dicitis?* Sed animadverte, quod de Filio Hominis quæstionem proponens hæc dicat. *Cui respondens Simon Petrus dixit: Tu es Christus filius Dei vivi.* non hominem illum, ut multi, per gratiam honore decoratum vocans: sed confitens ipsum unigenitum Dei filium esse, hominem scilicet factũ, & hunc pro illo agnoscens, nec usquam res illas dividens. quidnam ergo Dominus?

núquid increpat Petrum, ut non discernentem naturas: neq; dividẽtem filium hominis à deitate Verbi? numquid objurgabat, veluti deitatis, & humanitatis naturas non separantem? an potius beatum eum prædicabat dicens: *Beatus es Simon Bar-Iona: quia caro, & sanguis non revelavit tibi, sed pater meus, qui in Cælis est.* Etenim cum de visibili id affirmaret, quod ex natura visibili non didicerat, beatus pronunciatur, utpotè illud, quod de carne dixerat, non à carne, & sanguine edoctus, sed à Patre;

καὶ μηδαμοῦ τὰ πράγματα διαιροῦν. τί οὖν ὁ κύριος; ἆρα ἐπιτιμᾷ τῷ Πέτρῳ ὡς μὴ διακρίναντι τὰς φύσεις; μηδὲ διαστήσαντι τῆς τοῦ λόγου θεότητος τὸν Υἱὸν τοῦ ἀνθρώπου; ἆρα ἐπέπληξεν ὡς μὴ χωρίσαντι τὰς φύσεις θεότητός τε καὶ ἀνθρωπότητος; ἢ μᾶλλον ἐμακάρισεν αὐτὸν, λέγων· μακάριος εἶ Σίμων Βαρ-Ἰωνᾶ. ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ᾽ ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. ἐπειδὴ γὰρ εἶπε περὶ τοῦ ὁρωμένου, ὃ οὐκ ἐκ τῆς ὁρωμένης φύσεως ἔμαθε, μακαρίζεται. ὡς τὸ ῥηθὲν περὶ σαρκὸς μὴ μαθὼν παρὰ

σαρκὸς καὶ αἵματος, ἀλλὰ παρὰ τοῦ πατρὸς τοῦ ἐν οὐρανοῖς. τὸ γὰρ Θεὸν λόγον ἐν σαρκὶ ὀφθέντα γνωρίσαι, ὄντως τῆς τοῦ Θεοῦ καὶ πατρὸς γνώσεως ἦν. διὰ τοῦτο καὶ οἱ ἐπὶ τῆς Νικαίας πατέρες τὸν Ἰησοῦν τοῦτον τὸν Υἱὸν τοῦ ἀνθρώπου, περὶ οὗ καὶ Πέτρον ὁ κύριος ἤρετο, μονογενῆ προσηγόρευσαν ὁμοούσιον τῷ πατρὶ, τῷ μεγάλῳ Πέτρῳ περὶ αὐτοῦ σύμφωνα λέγοντες, καὶ τοῖς ἴχνεσι τοῦ Πέτρου δογμάτων ἑπόμενοι. τοῦτον γὰρ τὸν Ἰησοῦν ὁμολογοῦσιν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, γεννηθέντα ἐκ τοῦ πατρὸς, τουτέστιν, ἐκ τῆς οὐσίας αὐ-

qui in Cælis eſt. nam Deũ Verbũ in carne apparẽtem cognoſcere, revera ad Dei Patriſque cognitionem pertinebat. quocirca & Nicæni Patres Ieſum hunc filium hominis, de quo etiã Dominus Petrum interrogabat, unigenitum appellabant cõſubſtantialem Patri: idem cũ magno Petro de ipſo dicentes, & Petri dogmatum veſtigia ſequẽtes. hũc enim Ieſum cõfitentur filium Dei viui, genitũ ex patre, hoc eſt, ex ſubſtantia ejus, cõſubſtantialem Patri. Ne enim errones iſti Ieſum adoptivum filium exiſtimarent, ſubjungebant

SS.

SS. Patres; *unigenitũ ex Patre natũ*. deinde accuratius fidem explicantes dicunt: *Deũ de Deo*, hunc ſcilicet Ieſum: *lumen de lumine, Deum verum de Deo vero, genitum non factum, conſubſtantialem patri, per quem omnia facta ſunt, quæque in Cælo, & quæ in terra*: ea de filio hominis affirmantes, quæ Petrus breviter confeſſus beatus judicabatur. at poſtquã oſtenderant Chriſtũ Ieſum eſſe illum ipſum filium ante ſæcula, vide qua ratione iterum unigenitum ante ſæcula hominem factum oſtendant, reciprocis hi-

τοῦ, ὁμοούσιον τῷ πατρί. ἵνα γὰρ μὴ θετὸν Υἱὸν νομίσωσιν οἱ πεπλανημένοι τὸν Ἰησοῦν, ἐπήγαγον οἱ πατέρες· τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ. Εἶτα ἐξακριβοῦντες τὴν πίστιν, λέγουσι. Θεὸν ἐκ Θεοῦ, τοῦτον δηλονότι τὸν Ἰησοῦν· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ, καὶ τὰ ἐν τῇ γῇ· περὶ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ταῦτα λέγοντες, ἃ συντόμως ὁ Πέτρος ὁμολογήσας, ἐκρίθη μακάριος· ἀλλ' ἐπειδὴ τὸν Χριστὸν Ἰησοῦν αὐτὸν

ſce

εἶ) τὸν πρὸ αἰώνων Υἱὸν ἀπεφήναντο, ὁρῶ πῶς πάλιν τὸν πρὸ αἰώνων μονογενῆ δεικνύουσιν ἄνθρωπον γεγενημένον. ταῖς ἀντιδόσεσι ταύταις τῆς σωτηρίου οἰκονομίας τὴν ἕνωσιν ἐφιστῶντες, καὶ ἕνα καὶ τὸν αὐτὸν δεικνύντες, Θεόν τε ὄντα μονογενῆ, καὶ ἄνθρωπον δι' ἀνθρώπους γεγενημένον. ἐπειδὴ γὰρ εἶπαν τὸν κύριον Ἰησοῦν Χριστὸν ὁμοούσιον τῷ πατρί, τὸν αὐτὸν, οὐχ ἕτερον, δι' ἡμᾶς τοὺς ἀνθρώπους, φασί, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα.

sce attributionibus dispensationis salutiferæ unionem probantes, & unum eundemque ostendentes Deum existentem vnigenitum, & hominem propter homines factum. postquã enim Dominum Iesum Christum consubstãtialem dixissent Patri, eundem non aliũ propter nos homines, & propter nostram salutem descẽdisse, & incarnatum, & hominem factum, passumque, & resurrexisse tertia die ajũt. postquam enim dixerant, unigenitũ Deũ Verbum descendisse, ne localem Dei transitum intelligeres; (deitas enim omnia im-

implet, à propria creatura nusquam sejuncta;) explicant illud *descendisse*, dum ajūt, *hoc est*, *incarnatum esse*. non solùm habitantem in carne, sed incarnatum dicunt, Dei hominisq; vnionem accuratius hoc loquendi modo indicantes. hoc enim, inquiunt, est descendisse, carnis expertem incarnari propter hominum salutem, natura nequaquam mutata. nam dogmatum securitati rursus consulendum, quæ omnē temeritatis januā errori præcludant. non enim mutata natura

τα τῇ τρίτῃ ἡμέρᾳ. ἐπειδὴ γὰρ εἶπον κατελθόντα τὸν μονογενῆ Θεὸν λόγον, ἵνα μὴ τοπικὴν Θεοῦ νοήσῃς μετάβασιν. θεότης γὰρ τὰ πάντα πληροῖ, τῆς ἰδίας οὐκ ἀπολιμπανομένη δημιουργίας· ἑρμηνεύουσι τὸ κατελθόντα, τουτέστι, λέγοντες, σαρκωθέντα. οὐκ οἰκήσαντα μόνον ἐν τῇ σαρκί, ἀλλὰ σαρκωθέντα φασί. ταύτῃ τῇ λέξει Θεοῦ τε καὶ ἀνθρώπου ἕνωσιν μηνύοντες ἀκριβέστερον. τοῦτο γὰρ ἐστι φασί, κατελθόντα, τὸ σαρκωθῆναι τὸν ἄσαρκον διὰ τὴν ἀνθρώπων ζωήν, οὐ μεταβληθείσης τῆς φύσεως. πάλιν γὰρ ἀσφαλίζεσθαι τὰ δόγματα, πᾶσαν θύραν ἐπηρείας

Deus homo factus est, (absit) sed vnio-

nem

ἀποκλείονται τῇ πλάνῃ. οὐ μεταβληθεὶς τὴν φύσιν ὁ Θεὸς γέγονεν ἄνθρωπος. ἄπαγε. ἀλλὰ θαυματουργήσας τὴν ἕνωσιν: οὐ παθητὸς γενόμενος τὴν φύσιν, ἀλλὰ παθὼν τῇ πρὸς τὸ παθητὸν ἀκριβῇ κοινωνίᾳ. εἰ μὲν γὰρ γυμνὴ ἡ φύσις τοῦ Θεοῦ τὸ πάθος ἐδέχετο, ὄντως ἐλέγχομεν Θεὸν παθητόν. Εἰ δὲ πιστεύομεν, Θεὸν μὲν ὑπὲρ ἀνθρώπων θελῆσαι παθεῖν, τῆς δὲ φύσεως οὐ δεχομένης τὸ πάθος, ἑνωθῆναι διὰ τοῦτο τῷ παθητῷ, καὶ τῇ ἑνώσει ταύτῃ δέξασθαι τὸ πάθος· οὐ παθητὸν Θεόν, ἀλλὰ φιλάνθρωπον λέ-

nem miraculoſè perficiens: non paſſibilis factus ſecundum naturam, ſed patiens ob arctam cum paſſibili communionem unam. ſi nuda Dei natura paſſionem ſuſtinuiſſet, revera Deũ paſſibilem argueremus. at ſi credamus, Deum pro hominibus pati quidem voluiſſe; naturâ autem paſſionem non recipiente, propterea paſſibili unitum eſſe, & hac unione paſſioné ſuſcepiſſe: non paſſibilem Deum ſed miſericordem dicimus; non infirmum, & impotentem propter paſsionem, ſed potentem ſupra naturam: propterea Sancti Patres

cum

cum incarnatum dixissent, subjunxerunt, hominem factũ: præsupponentes, ut dixi, hisce verbis deitatis, & humanitatis summam unionem. quã ob causã securè subjungebant, de Deo, dicentes, eum passum esse: non ut naturam Dei passibilem intelligeremus; sed Deũ patientem, eò quod quàm arctissimè cum passibili unitus esset. nec mireris, quod verba audias, quæ rationem superant. ipse naturâ superior erat. hominum enim natura ex semine oritur: sed Servator ea quæ supra nostram naturam sunt miraculosè

γομεν. οὐκ ἀλγήσαντα διὰ τὸ πάθος, ἀλλὰ δυνηθέντα τὰ ὑπὲρ φύσιν. διὰ τοῦτο οἱ πατέρες εἰπόντες αὐτὸν σαρκωθέντα, ἐπήγαγον, ἐνανθρωπήσαντα. τούτοις ὡς ἔφην, θεότητός τε καὶ ἀνθρωπότητος ἄκραν ἕνωσιν ὑποτιθέμενοι. δι' ἣν αἰτίαν ἀσφαλῶς ἐπήγαγον περὶ Θεοῦ λέγοντες, τὸ, παθόντα, ἵνα μὴ φύσιν Θεοῦ νοήσωμεν παθητήν. ἀλλὰ παθόντα Θεὸν, διὰ τὸ ἓν γενέσθαι πρὸς τὸ παθητὸν κατὰ ἀκρίβειαν. καὶ μὴ θαυμάσῃς λόγων ἀκούων νικώντων τὸν λόγον. τῆς φύσεως κρείττων ἐγένετο. ἡ μὲν γὰρ ἀνθρώπων φύσις

ἐκ σπέρματος γίνεται. ἀλλ' ὁ σωτὴρ τὰ ὑπὲρ φύσιν τὴν ἡμετέραν θαυματουργεῖ. οὐ γὰρ ἐδεήθη σπέρματος, καὶ γέγονεν ἄνθρωπος. θαυμάζεις τοῦτο πιστεύσας, καὶ οὐκ ἐρευνᾷς λογισμοῖς; οὐκοῦν πίστευε κἀκεῖνο ὃ περὶ τῆς παρθένου πεπίστευκας. εἰ γὰρ οὐκ ἠλλοιώθη παρθένος καὶ μήτηρ ἐγένετο, καὶ θεὸς μὴ ἀλλοιωθεὶς γέγονεν ἄνθρωπος. ὡς ταῦτα δέχῃ θαυμάζων, καὶ οὐδὲν πολυπραγμονῶν, δέχου κἀκεῖνα, Θεοῦ συγκατάβασιν ἐπαινῶν, καὶ μηδαμοῦ φύσεως λόγους κινῶν. καὶ ταῦτα κἀκεῖνα Θεοῦ γέγονε θαύματα.

losè effecit, nō enim indigebat semine, & factus est homo. miraris hoc fide credēs, & nō scrutaris rationibus? ergo & illud crede, quod de Virgine credendum accepisti. Si enim Virgo mutata non fuerit, & mater facta est; etiam Deus non mutatus factus est homo. Sicuti ista recipis, admirans, & nequaquā curiosè pervestigans, ita etiam hæc admitte; Dei cōdescensionem prædicans, & naturæ rationes nequaquàm movens. Et hæc, & illa Dei miracula fuêre. unà fide utrumq; disce, nec teipsum in infinitas quæstiones con-

conijce: ne hujusmodi quærendis, fundũ quidem rationis subeas, enatare autem non valens, in ipso quæstionis fundo fidei simplicitati innutritos naufragio perdas. nam dum nos calumniatur, simpliciores decipit: quasi nos Deum passibilẽ esse affirmemus, quoniam propter ineffabilem, atque inconfusam unionem cum passibili, passiones Dei proprias factas fuisse dicimus, quas per operationem miraculosã Deo tribuimus, non secundum mutationem substantiæ. Si enim passibilem passum esse diceremus,

μία πίστει ἀμφότερα μάνθανε, καὶ μὴ ἑαυτὸν ἐμβάλῃς ἀπεράντοις ζητήμασιν. ἵνα μὴ τοιαῦτα ζητῶν, πρὸς μὲν τὸ βάθος τοῦ λόγου καταδύῃς, ἀνέξασθαι δὲ μὴ δυνηθῇς, ἐν αὐτῷ βυθῷ τοῦ ζητήματος ναυαγήσας ξυντραφέντας ἁπλότητι πίστεως. συκοφαντῶν γὰρ ἡμᾶς, ἠπάτα τοὺς ἁπλουστέρους, ὡς ἡμῶν παθητὸν λεγόντων εἶναι τὸν θεόν. ἐπειδὴ διὰ τὴν πρὸς τὸ παθητὸν ἀπόρρητόν τε καὶ ἀσύγχυτον ἕνωσιν Θεοῦ λέγομεν ἴδια γεγονέναι τὰ πάθη. ἃ κατὰ θαυματουργίαν Θεοῦ γενέσθαι φαμέν, οὐ κατὰ ἀλλοίωσιν τῆς οὐσίας. εἰ γὰρ ἐλέγο-

μὲν πεπονθέναι παθητὸν, οὐκ ἦν θαῦμα τὸ γεγενημένον. τὸ γὰρ ὂν παθητὸν παθεῖν, κατὰ λόγον ἐστὶ τῆς φύσεως. θαυματουργίαν δέ σοι λέγω, ἵνα πιστεύῃς μόνον, ὡς τοῖς ἄλλοις παραδόξως ποιηθεῖσιν ὑπὸ Θεοῦ, καὶ μηκέτι καταπίπτῃς πρὸς τοὺς λόγους τῆς φύσεως. παθητὸν μὲν γὰρ τοῦτο λέγεται καὶ πᾶσι γνωρίζεται, ὃ τὴν φύσιν ἔχει παθεῖν δυναμένην, κἂν μὴ ὑπομείνῃ τὸ πάθος. καυστὸν μὲν γὰρ τὸ ξύλον ἐστὶ κἂν μηδέποτε παραδοθῇ τῷ πυρί. τμητὸν δὲ τὸ σῶμα λέγεται, κἂν μηδέποτε τῇ ἀκμῇ τοῦ σιδήρου παρα-

remus, id quod factum est, miraculum non esset, nam passibilem pati secundum naturæ rationem accidit: ego verò miraculum tibi dico, ut fide tantum, quemadmodum alia miraculosè à Deo perpetrata, credas, nec amplius ad naturę rationes recidas. hoc enim passibile dicitur, & ab omnibus agnoscitur, quod naturam obtinet, quæ pati potest, etiamsi passionẽ non sustineat. nam lignum cõbustibile est, etiamsi nũquam igni tradatur. Corpus autem sectile dicitur, etiamsi nunquam acumini ferri exponatur. quippe ex natura,

non ex actione rebus huiusmodi appellationes obtigere. quo modo ergò Deum passibilem dicis, qui eam naturam, quæ pati possit, habere nõ dicis? miraculoso enim modo passionẽ sibi ipsi adoptavit, passibili mirabilitèr unitus: non autem secũdùm naturam eã sustinuit. quocirca etiam Sanctissimi Niceni Patres à Spiritu Sancto ad fidei consensum, concentumque reducti, ipsum Deum Verbum, Patri consubstantialem, natura sua, sicut omnes scimus, impassibilem, propter nos homines, & propter

ραδοθῇ. ἐκ γὰρ τῆς φύσεως τοῖς πράγμασιν, οὐκ ἐκ τῆς ἐνεργείας αἱ τοιαῦται προσηγορίαι γεγένηνται. πῶς οὖν λέγεις Θεὸν παθητὸν, ὁ μὴ λέγων ἔχειν αὐτὸν φύσιν παθεῖν δυναμένην; ἐθαυματούργησε γὰρ ἑαυτῷ τὸ πάθος, ἑνωθεὶς παραδόξως τῷ παθητῷ, καὶ οὐ κατὰ τὴν φύσιν ἐδέξατο. διὸ δὴ καὶ οἱ ἐπὶ τῆς Νικαίας ἁγιώτατοι πατέρες τῷ ἁγίῳ πνεύματι πρὸς συμφωνίαν ἀγόμενοι πίστεως, αὐτὸν τὸν Θεὸν λόγον, τὸν ὁμοούσιον τῷ πατρὶ ὄντα, τὴν φύσιν ἀπαθῆ, καθὼς πάντες γινώσκομεν, δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμε-

τέραν σωτηρίαν κατελθόντα λέγουσι· τουτέστι σαρκωθέντα· ἵνα γνῷς ὅτι λόγος σὰρξ ἐγένετο· εἰ δὲ μήπω τὸ σαρκωθέντα νοεῖς, ἐνανθρωπήσαντα λέγουσιν. Εἶτα τὸν αὐτὸν παθητὸν φασιν, ὡς εἰκὸς γενόμενον ἄνθρωπον. τοῦτο γὰρ ἦν ἄνθρωπον εἶναι, τὸ παθεῖν τὰ ἀνθρώπινα. ὅπερ ὁ πλανηθεὶς τῇ πίστει κατανοῆσαι μὴ δυνηθεὶς, ἀλλ' εἰς ζήτησιν λογισμῶν τὸ θαῦμα καταβιβάσας, ἐνόμισε παθητὸν εἶναι Θεὸν, τὸν ἐν ἀπαθεῖ φύσει τὰ τῶν ἀνθρώπων ἰδιοποιησάμενον πάθη· οὐ τὸ παθητὸν δὲ ἄλλως ἐστὶ παθητὸν ποιῶν

pter noſtram ſalutẽm deſcendiſſe ajunt, hoc eſt, incarnatum eſſe. ut Verbum carnem factũ eſſe ſcias. Si verò incarnationis vocem necdum intelligas, hominem factũ eſſe dicunt. deinde eundem paſſibilem pronunciant, utpotè hominem factũ. hoc enim erat hominem eſſe, humana pati. quod cum errabundus in fide animo capere non poſſet, ſed miraculum ad rationum diſquiſitionem produxiſſet, exiſtimavit paſſibilem eſſe Deum, qui in natura impaſſibili humanas paſſiones ſibi proprias fecit. neque verò paſſibile alia ali-

qua ratione est passibile, quàm quod naturam habeat, quæ pati possit: quandoquidem nec B. Virgo hominis genitrix est. neque enim capax est partûs permanēs virginitas. at Maria permanens virgo Deum Verbum hominē factum peperit. numquid ergo omnis virgo hominem parit, quia una virgo peperit? nequaquam. quare nec Deus passibilis, quia semel per dispēsationem propria sua carne passionem sustinuit. Idcirco SS. Patres Nicææ congregati fidenter, & Deum passum asseruerunt, & passibilem non

δὲ, ἀλλὰ τὸ φύσιν ἔχων παθεῖν δυναμένην. ἐπεὶ καὶ ἡ παρθένος οὐκ ἔστιν ἀνθρωποτόκος. οὐ χωρεῖ γὰρ τὸν τόκον μένουσα παρθενία. καὶ μὴν ἄνθρωπον γενόμενον τὸν Θεὸν λόγον ἔτεκε Μαρία, μείνασα παρθένος. ἆρ' οὖν πᾶσα παρθένος ἀνθρωποτόκος, ἐπειδὴ μία παρθένος ἔτεκε; οὐδαμῶς. οὐκοῦν οὐδὲ Θεὸς παθητὸς, ἐπειδὴ ἅπαξ δι' οἰκονομίαν τῇ ἑαυτοῦ σαρκὶ τὸ πάθος ἐδέξατο. διὰ τοῦτο θαρρήσαντες οἱ ἐπὶ τῆς Νικαίας συνελεγμένοι πατέρες, καὶ παθόντα εἶπαν Θεὸν, τὸν παθητὸν οὐκ ἐδίδαξαν. ὁ γὰρ διὰ οἰκονομίαν καὶ συ-

φίαν τεθαυματούργηται, τοῦτ' οὐδεὶς σωφρονῶν τῷ λόγῳ τῆς φύσεως ἀνατίθησι. μετὰ οὖν τὸ εἰπεῖν τοὺς πατέρας περὶ μονογενοῦς τοῦ γεννηθέντος ἐκ τοῦ πατρὸς, τὸ σαρκωθῆναι, ἐνανθρωπῆσαι, παθεῖν, ἐπάγουσι λέγοντες, αὐτὸν ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ. τοῦτο γὰρ ἦν τοῦ κατὰ Θεὸν πάθους τὸ χρήσιμον. οὗτος ὁ καρπὸς τοῦ Θεὸν ὑπὲρ ἀνθρώπων ἐλέσθαι τὸν θάνατον. ἵνα γὰρ ξυναναστήσῃ τὴν θνητὴν φύσιν ὁ ἀθάνατος, τῶν ἀνθρωπίνων ἡμῖν κοινωνεῖ. ὃ δὴ καὶ ὁ μέγας ἀπόστολος Παῦλος σαφῶς δηλῶσαι βουλόμενος ἔλεγε. ξυνή-

non docuerunt. quidquid enim per diſpẽſationem, & ſapientiam miraculoſo modo factum fuit, id nemo ſapiens naturæ rationi tribuit. poſtquam ergò SS. Patres de Vnigenito ex Patre nato dixerunt, incarnatum, hominem factum, paſſumque eſſe, ſubjungunt deinde, illum reſurrexiſſe tertia die: hoc enim paſſionis Dei emolumentum erat: hic fructus mortis, quam Deus pro hominibus ſubiit: nam ut ſecum reſuſcitaret naturam mortalem, immortalis humana nobiſcum participat: quod & magnus ille Apoſtolus Paulus per-

ſpicuè indicare volẽs, dicebat : *Conreſuſcitavit, & conſedere fecit in cæleſtibus in Chriſto*, non dicit *reſuſcitavit*, ſed *conreſuſcitavit*: vt non ſolius hominis mortem, & reſurrectionem, ſed & reſuſcitantis ipſum intelligas: qui ſapientiâ ſuâ, non autem naturę mutatione hęc ſuſtinuit. unde etiam nõ mortalẽ, ſed miſericordem, hominumque amantem vocamus. nã morte mortem abolevit, & paſſionibus paſsibile per ſanavit. dicant enim, *quis exinanivit ſemetipſum uſque ad mortẽ, mortem autem crucis*, nisi Deus cum hominibus

ἤγειρε καὶ ξυνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. οὐκ ἤγειρε λέγει, ἀλλὰ συνήγειρεν. ἵνα μὴ ἀνθρώπου μόνου θάνατον καὶ ἀνάστασιν, ἀλλὰ καὶ τοῦ ἐγείραντος αὐτὸν γνωρίσῃς, ὑπομείναντος ταῦτα σοφίᾳ τῇ ἑαυτοῦ, καὶ οὐκ ἀλλοιώσει τῆς φύσεως. ὅθεν οὐδὲ θνητὸν, ἀλλὰ φιλάνθρωπον λέγομεν. θανάτῳ γὰρ κατήργησε θάνατον, καὶ πάθεσι τὸ παθητὸν ἐξιάσατο. ἐπεὶ λεγέτωσαν, τίς ἐκένωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, εἰ μὴ ὁ τούτου κοινωνήσας τοῖς ἀνθρώποις Θεὸς ἑκουσίως, οὐ τὴν φύσιν ἀναγκασθείς; τοῦτο γὰρ φρονείσθω ἐν ὑ-

μῖν, φησιν, ὃ καὶ ἐν Χρι-
στῷ Ἰησοῦ, ὃς ἐν μορφῇ
Θεοῦ ὑπάρχων οὐχ ἁρ-
παγμὸν ἡγήσατο τὸ εἶναι
ἴσα Θεῷ. ἀλλ᾽ ἑαυτὸν
ἐκένωσεν, μορφὴν δούλου
λαβὼν, ἐν ὁμοιώματι
ἀνθρώπων γενόμενος, καὶ
σχήματι εὑρεθεὶς ὡς ἄν-
θρωπος. ἐταπείνωσεν
ἑαυτὸν, γενόμενος ὑπή-
κοος μέχρι θανάτου,
θανάτου δὲ σταυροῦ. τί λέ-
γεις ὦ θαυμάσιε Παῦλε;
ὁ ἐν μορφῇ Θεοῦ ὑπάρ-
χων, καὶ ἴσος διὰ τοῦ-
το Θεῷ γνωριζόμενος,
ἑαυτὸν ἐκένωσε; καὶ τί
τῆς κενώσεως τὸ εἶδος,
εἰπέ. μορφὴν, φησὶ, δού-
λου λαβών. καὶ μὴν εἰ

nibus sponte, nō autem naturæ necessitate eam participans? *hoc enim sentiatur in vobis*, inquit, *quod & in Christo Iesu, qui in forma Dei existens, non rapinā existimavit esse æqualem Deo: sed semetipsum exinanivit, formam servi accipiens, in similitudinem hominum factus, & habitu inventus ut homo: humiliavit semetipsum factus obediens usque ad mortem, mortem autem Crucis.* ô Paule admirande quid ais? *qui in forma Dei existēs*, ideoque *æqualis Deo* cognitus, *semetipsum exinanivit*. & quænam exinanitionis forma? dic quæso. *formam*, inquit, *servi accipiens.*

& siquidem solummodo servi formam assumpsisset, exinanisset semetipsum? sed modum, inquit, considera, quo servi formam assumpsit, & cognosces quod priùs semetipsum exinanivit. Si enim non cōdescendens Homini Deus hominem assūpsisset, formam servi tantum accepisset, neque exinanisset semetipsum. quoniam verò ipse, inquit, homo factus est, *inventus enim est, ut homo*, ait Paulus, *humiliavit semetipsum, factus obediens usque ad mortem, mortem autē Crucis*; meritò dicebat, quod *semetipsum exinani-*

μόνον προσέλαβε δούλου μορφὴν, ἑαυτὸν ἐκένωσεν. ἀλλὰ τὸν τρόπον σκόπει, φησίν, ᾧ ἀνέλαβε τὴν τοῦ δούλου μορφὴν, καὶ γνώσῃ ὅτι πρότερον ἐκένωσεν ἑαυτόν. εἰ μὲν γὰρ μὴ συγκαταβὰς ἀνθρώπῳ Θεὸς ἀνέλαβεν ἄνθρωπον, μορφὴν ἔλαβε δούλου μόνον, καὶ ἑαυτὸν οὐκ ἐκένωσεν. ἐπειδὴ δὲ αὐτὸς, φησὶ, γέγονεν ἄνθρωπος, εὑρεθεὶς γὰρ ὡς ἄνθρωπος, φησὶν ὁ Παῦλος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Εἰκότως εἶπεν ὅτι ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. ἐπεὶ πῶς

nani-

ἐν μορφῇ Θεοῦ ὑπάρχων, καὶ μὴ ἁρπαγμὸν ἡγούμενος τὸ εἶναι ἴσα Θεῷ, ἑαυτὸν ἐκένωσε· λεγέτωσαν ἡμῖν οἱ τῆς κατὰ Χριστὸν οἰκονομίας τὴν χάριν ἀρνούμενοι. ἀλλ' οὐκ ἔχουσιν εἰπεῖν πῶς ἑαυτὸν ἐκένωσεν ὁ Θεὸς, ἄνθρωπον μὲν τετιμημένον λέγοντες εἶναι τὸν Χριστὸν, σάρκα δὲ τὸν λόγον γεγενῆσθαι μὴ θέλοντες. ἐντεῦθεν γὰρ καὶ ὁ τὴν πλάνην ταύτην ἀναφανδὸν κηρύττειν τετολμηκὼς, κλέπτει τῆς ἀποστολικῆς διδασκαλίας αὐτὸ δὴ τοῦτο (ἐκένωσεν ἑαυτὸν) δεδοικὼς τὸν λόγον, ὡς δηλῶσαι δυνά-

nanivit, formam servi accipiens. quomodo enim in forma Dei existens, nec rapinam existimans esse ęqualem Deo, semetipsũ exinanivit, dicant nobis qui gratiam dispensationis in Christo negant. Sed dicere nõ possunt quomodo Deus semetipsum exinaniverit, qui Christum quidẽ eximiæ dignitatis hominẽ esse ajunt: Verbũ autẽ carnẽ factũ esse nõ volunt. nam qui errorẽ istum publicè prædicare ausus est, suffuratur hoc loco ex apostolica doctrina illud, *exinanivit semetipsum*, metuens hunc sermonem, utpote qui Dei cum rebus

bus humanis cómunionem ostédere possit; quam ipse omninò negavit; non Deũ hominem factum, sed hominem gratiâ deificatum Christum appellans. nam ubi Magni Cyrilli admonitioni contrario scripto respondet, injecta in literis ad magnum illum virũ dicti hujus apostolici mentione, tanta cum arte illud explicat, ut orationis perversioné ignorátes in errorem abducere possit. Sed ut clarè constet, quod dico, ipsa Decepti verba ex epistola illa apponam, ubi sic ad ver-

μένον τὴν περὶ τὰ ἀνθρώπινα τοῦ Θεοῦ κοινωνίαν, ἣν αὐτὸς ἠρνήσατο παντελῶς· οὐ Θεὸν ἐνανθρωπήσαντα, ἀλλὰ ἄνθρωπον λέγων τὸν Χριστὸν θεωθέντα τῇ χάριτι. ἀντιγράφων γὰρ καὶ ἀντιλέγων τῇ τοῦ μεγάλου Κυρίλλου παραινέσει, καὶ μνησθεὶς ἐν τῇ πρὸς τὸν μέγαν ἐκεῖνον ἐπιστολῇ ταυτησὶ τοῦ ἀποστόλου τῆς λέξεως, μετὰ τοσαύτης τῆς τέχνης τὴν ῥῆσιν ἐκτίθεται, ὡς τοὺς ἀγνοοῦντας τὴν τοῦ λόγου προσβολὴν παρασυρῆναι τῇ πλάνῃ. ἵνα δὲ σαφὲς ᾖ τὸ λεγόμενον, αὐτοὺς τοῦ ἠπατημένου τοὺς λόγους τῆς ἐπιστολῆς παραθήσομαι,

„ bum loquitur: volens Apostolus, inquit,

ea

ἐν οἷς οὕτως αὐταῖς λέξεσι λέγει. μέλλων ὁ ἀπόστολος φησί, τὰ τοῦ πάθους ἐπάγειν, πρότερον θεὶς ὁ Χριστὸς, ὃ κοινὸν τῶν δύο, ὡς μικρῷ πρότερον ἔφην, τῶν φύσεων ὄνομα, παράγει τὸν λόγον ἀμφοτέραις πρέποντα ταῖς φύσεσι. τί γάρ φησι; τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. καὶ σιωπήσας τὰ ἑξῆς, ὡς αὐτῷ πολέμια, ἐπάγει λέγων. ἀλλ' ἵνα μὴ τὰ καθ' ἕκαστα λέγω, ὑπήκοος γενόμενος μέχρι θανάτου θανάτου δὲ σταυροῦ. καὶ μὴν οὐ πολ-

„ ea quę passionis sūt „ inferre, ponēs prius „ Christi nomen, cō- „ mune naturæ vtri- „ que, ut paulò antè „ dixi, orationem u- „ trique naturæ con- „ venientem adducit. „ quid enim ait? *hoc sentiatur in vobis, quod & in Christo Iesu, qui in forma Dei existens non rapinam existimavit esse æqualem Deo.* & sequentia tamquā sibi cōtraria reticens, subjungit: *sed ne singula replicem; obediens factus usque ad mortē, mortem autem Crucis;* atqui haud multa sūt interjecta Apostoli verba. hoc enim dumtaxat in medio habetur; *exinanivit semetipsum formam servi accipiens,*

cipiens. Sed illud quasi prolixum transcurrit: egregiè enim hic homo furtiva verborum subtractione veritatem obumbrare novit. Sicuti enim superiùs ex SS. Patrũ professione subtrahẽs illud, *& in unum Dominum*, licẽt iã sibi ipsi permisit, Christi nomen pluribus naturis commune esse dicẽdi: ita hoc loco illud, *exinanivit semetipsum*, orationi subtrahit, tãquam sufficiẽs ad docendũ, quod Deus ad rerum humanarũ cõmunionem descenderit. Sed nequaquã latuit impostor ille, quin argueretur, licet potiora ac præcipua

λὰ ἣν τὰ μεταξὺ ῥηθέντα τῷ ἀποστόλῳ. τοῦτο γὰρ μόνον ἔχει τὸ μέσον. ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών. ἀλλ' ὡς μακρὸν αὐτὸ παρατρέχει. δεινὸς γὰρ ὁ ἀνὴρ τῇ κλοπῇ τῶν λόγων τὸ ἀληθὲς συσκιάσαι. ὥσπερ γὰρ ἀνωτέρω τὸ, καὶ εἰς ἕνα κύριον πιστεύειν, ὑφελόμενος τῆς τῶν πατέρων ἐκθέσεως, ἄδειαν δέδωκεν ἑαυτῷ πλειόνων φύσεων τὸ Χριστὸς ὄνομα κοινὸν λέγειν, οὕτως ἐνταῦθα τὸ (ἑαυτὸν ἐκένωσε) τοῦ λόγου περιαιρεῖ, ὡς ἱκανὸν διδάξαι, ὅτι Θεὸς εἰς κοινωνίαν ἀνθρωπίνων πραγμάτων κατέβη. ἀλλ' οὐκ ἔμεινεν ὁ ἀπατεὼν ἀνεξέλεγκτος,

κἂν ὑφείλατο τοῦ λόγου τὰ καιριώτερα. Ἐπειδὴ γὰρ πολλὰ τοῦ λόγου κλέπτων ᾐσχύνετο, δεδοικὼς τὸ καὶ ἁλῶναι κλοπῆς, ἄκων μὲν, θεὶς δὲ ὅμως τὸ ἑξῆς περὶ μονογενοῦς παρὰ τοῦ Παύλου ῥηθὲν, ἠλέγχθη σαφῶς τὸ καιριώτερον τῆς οἰκονομίας ἀθετῶν μέρος, τῆς πρὸς τὰ ἀνθρώπινα τοῦ Θεοῦ λόγου κοινωνίας. Εἰπὼν γὰρ περὶ αὐτοῦ ὃ, γενόμενος ὑπήκοος μέχρι θανάτου θανάτου δὲ σταυροῦ, παρὰ τοῦ Παύλου ῥηθέν. Σαφῶς παραχαράττων τὴν πίστιν ἐλέγχεται, καὶ κακῶς ἀνθρώπῳ μόνῳ προσνέμων τὰ πάθη. Εἰ γὰρ

pua orationis ſubtraxerit. Cũ enim multa furtim ex contextu ſubtrahẽs pudore ſuffunderetur, metuens ne in furto deprehenderetur, quamvis nolens, ſequentia tamẽ Apoſtoli de Vnigenito verba apponens, arguitur manifeſtè, quod præcipuam incarnationis partem improbet, cõmunionem ſcilicet & commercium Dei Verbi cum humana natura. dum enim de illo dicit, *obediens factus uſque ad mortem, mortem autem Crucis*, falſatæ fidei manifeſtè arguitur, quodque malè ſoli homini paſſiones tribuat. Si enim in forma Dei exiſtens,

&

& æqualis existens Deo obediens factus est usque ad mortem, mortem autem Crucis: perspicuum est, quod idem erat patiens, non deitatis naturâ; sed propriâ carne, quam arctissimè sibi ipsi unierat. sed Deceptus ille, dũ omnes naturæ limites convellere aggreditur, alia quidem furtim subtrahens, alia falsis rationibus sophisticè pervertẽs, januam defensionis Iudæis aperit, levem illorum culpam circa Crucem ostendere volens, quippe qui hominem solummodo Cruci affixerint, neque quidquam attentaverint adversus

ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, καὶ ἴσος δὲ ὢν τῷ Θεῷ, ὑπήκοος γέγονε μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, δῆλον ὡς αὐτὸς ἦν ὁ παθών, οὐ τῇ τῆς θεότητος φύσει, ἀλλὰ τῇ ἰδίᾳ σαρκί, ἣν κατὰ ἀκρίβειαν ἥνωσεν ἑαυτῷ. ἀλλὰ ὁ μὲν ἠπατημένος πρὸς πάντας τοὺς τῆς φύσεως ὅρους ὁμόσε χωρῶν, καὶ τὰ μὲν κλέπτων, τὰ δὲ παραλογισμοῖς σοφιζόμενος, ἀνοίγει θύραν ἀπολογίας τοῖς Ἰουδαίοις, μικρὸν αὐτοῖς τὸ κατὰ τὸν σταυρὸν ἔγκλημα δεῖξαι βουλόμενος. ὡς ἄνθρωπον σταυρωσάντων μόνον, καὶ οὐδὲν πεπλημμεληκότων κατὰ Θεόν. ὁ δὲ

Deum

ἐπὶ τῆς Νικαίας ξυναχθέντες ἅγιοι πατέρες αὐτὸν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς, καὶ οὐ ποιηθέντα, τουτέστιν, ἐκ τῆς οὐσίας τοῦ πατρὸς, τὸν ὁμοούσιον τῷ πατρὶ, καὶ σαρκωθῆναι, καὶ ἐνανθρωπῆσαι, καὶ παθεῖν λέγουσι· σιωπήσαντες τέως διὰ βραχυλογίαν, τοῦ ἀπαθοῦς τὸν τρόπον. οὐ γὰρ φύσιν θεότητος εἰσάγουσι παθητικὴν, ἀλλὰ τὴν πρὸς τὸ παθητὸν ἄκραν ἕνωσιν τοῦ Θεοῦ λόγου διδάσκουσιν. ἣν καὶ αἰτίαν τὴν τοῦ θεϊκοῦ λέγουσι πάθους· καὶ τοῦ θανάτου τὸ χρήσιμον ἐκδιδάσκοντες, δεικνύουσι τὸν ὁμο-

Deum. At SS. Patres in Nicæâ cõgregati ipſum Vnigenitum Filium Dei, ex Patre genitum non factum, hoc eſt ex ſubſtantia Patris conſubſtãtialem Patri, & incarnatum, & hominem factum, & paſſum eſſe dicunt; reticentes hactenus brevitatis cauſa modum, quo impaſſibilis paſſus eſt. non enim deitatis naturam paſſibilem introducunt, ſed arctiſſimam Dei verbi cum paſſibili natura coniunctionem docent: quam & cauſam eſſe dicunt paſſionis Dei: & ut mortis fructum doceant, Ieſum Chriſtum, Patri conſub-

substantialem, propter nostram salutẽ incarnatum, passumque ostendunt, & resurrexisse tertia die, ascendisse in Cælos, & venturum iudicare viuos, & mortuos. nam ut cognatum haberemus Iudicem, Deus immutabilis fit homo: ut Iudicis cõsanguinitate confideremus, qui nullam ex propriis meritis habemus fiduciam. etenim, quia terribilis est, ut Deus; etiam desiderabilis nobis fit ut homo: ut eumdem simul & metueremus, & desideraremus; potentia quidem incutiente metum; cognatione autem excitante desiderium.

ούσιον τῷ πατρὶ Ἰησοῦν Χριστὸν, δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα, παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς οὐρανοὺς, ἐρχόμενον κρίναι ζῶντας καὶ νεκρούς· ἵνα γὰρ τὸν κριτὴν ἔχωμεν συγγενῆ, Θεὸς ἀναλλοίωτος ἄνθρωπος γίνεται· ἵνα τῇ τοῦ κριτοῦ συγγενείᾳ θαῤῥήσωμεν, οἱ τῶν οἰκείων κατορθωμάτων παῤῥησίαν οὐκ ἔχοντες. ἐπειδὴ γὰρ φοβερός ἐστιν ὡς Θεὸς, καὶ ποθεινὸς ἡμῖν ὡς ἄνθρωπος γίνεται, ἵν' ὁμοῦ τε φοβηθῶμεν τὸν αὐτὸν, καὶ ποθήσωμεν. τῆς μὲν ἐξουσίας ἐμ-

venit

ποιούσης τὸν φόβον· τοῦ δὲ συγγενείας παρεχούσης τὸν πόθον. ἔρχεται οὖν κρίναι ζῶντας καὶ νεκροὺς ὁ ἐμοὶ κοινωνήσας τῶν ἀνθρωπίνων, ἵνα κριτὴς δίκαιος ᾖ τούτοις δικάζων, οἷς αὐτὸς πρότερον τῶν παθῶν ἐκοινώνησε· καὶ συγγνώμων γένηται δικαστὴς, κατὰ τὸν μέγαν ἀπόστολον, ἐξ ὧν ἔπαθε μαθὼν τὴν ὑπακοήν. εἰ γὰρ καὶ πάντα γινώσκει, Θεὸς ὢν, ὁ μονογενής. ἀλλὰ περιέλαβε πεῖραν ὧν ἡ φύσις τῆς Θεότητος, οὔτε ἦν οὔτε γέγονε δεκτική. τὴν γὰρ προσληφθεῖσαν ἐκ Μαρίας φύσιν ἑνώσας ἑαυτῷ ταύτῃ δέχεται πεῖραν ὧν ἡ φύσις τῆς θεότητος ἀπεί-

venit ergò judicare vivos, & mortuos, qui humana mecum communia habet, ut justus sit Iudex, judicans ex iis affectionibus, quas ipse prius nobiscum habuit cõmunes, & ut misericors sit Iudex, juxta magnum Apostolum, quippe qui *ex ijs, quæ passus est, obedientiam didicit*. Nam licet omnia cognoscat Vnigenitus, eò quòd sit Deus: attamen experientiam cœpit eorũ, quorum natura Deitatis, neque erat, neque facta fuit capax. nam assumptam ex Mariâ Virgine naturam sibimetipsi vniens illa experimentũ cœ-

 pit

pit eorum, quorum expers erat natura Deitatis. Sed qui Dei ex Virgine nativitatem accusat, mysterium sapientiæ Dei ignorare videtur. neque enim hæc nativitas Deitati principium dedit, sed exordium fuit incarnationis Verbi, quia enim homo fieri dignatus est, Deus ante sæcula existens; principiū verò humanæ existétiæ est nativitas, capit principium dispensationis, hoc fundamentum rebus supponens, & semper existens, homo esse incipit: illud quidem, utpotè Deus; hoc autem, utpote & homo fieri dignatus. quod

ερατος ἦν. ὁ δὲ τὸν τῆς παρθένου διαβάλλων τοῦ Θεοῦ τόκον, ἔοικε τῆς τοῦ Θεοῦ σοφίας ἀγνοεῖν τὸ μυστήριον. οὐ γὰρ οὗτος ὁ τόκος ἀρχὴ θεότητος γέγονεν, ἀλλὰ προοίμιον ἦν τοῦ σάρκα γενέσθαι τὸν λόγον. Ἐπειδὴ γὰρ εἵλατο γενέσθαι ἄνθρωπος, ὢν πρὸ αἰώνων Θεός· ἀρχὴ δὲ τῆς ἀνθρωπότητος ὁ τόκος ἐστί· δέχεται τὴν ἀρχὴν τῆς οἰκονομίας τοῖς πράγμασι κρηπῖδα ταύτην ὑποτιθείς. ἀεὶ ὢν τοῦ εἶναι ἄνθρωπος ἄρχεται. τὸ μὲν, ὢν Θεός, τὸ δὲ ὡς ἑλόμενος γενέσθαι καὶ ἄνθρωπος. ὃ δὴ καὶ οἱ ἐπὶ τῆς Νικαίας πατέρες δηλοῦντες

&

Σαφῶς ἔγραψαν, περὶ τοῦ μονογενοῦς εἰπόντες· τοὺς δὲ λέγοντας, ἦν ποτὲ ὅτε οὐκ ἦν· καὶ πρὶν γεννηθῆναι οὐκ ἦν· καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας· φάσκοντας εἶναι, ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. ἵνα γὰρ μὴ ἀρχὴν Θεότητος τοῦ μονογενοῦς τὸν τόκον νοῇς, ἀναθεματίζουσι τοὺς λέγοντας, ἦν ποτὲ ὅτε οὐκ ἦν. ἐξορίζουσι δὲ τῆς χριστιανῶν ἐλπίδος καὶ τοὺς λέγοντας, ἔτι πρὶν γεννηθῆναι οὐκ ἦν. ξένους τε τῆς ἡμετέρας τιθέντας σωτηρίας, καὶ τοὺς λέγον-

& Nicæni Patres significaturi manifestè scripserunt de Vnigenito his verbis: *qui verò dicunt; erat aliquando cum non esset; item: antequam nasceretur, nõ erat: & quod ex non existentibus extiterit, vel ex aliena subsistentia, sivè substantia, vel mutabilem, & variabilem Filium Dei esse dicunt, illos anathematizat Catholica, & Apostolica Ecclesia.* Etenim ne Deitatis Vnigeniti principium nativitatẽ intelligas, anathematizant eos, qui dicunt: *erat aliquando. quando non erat.* exterminant quoque à spe Christianorum eos, qui di-

τας τὸν Χριστὸν ὅτι ἐξ οὐκ ὄντων ἐγένετο. καὶ μὴν εἰ μόνον ἄνθρωπος ἦν κατὰ τοὺς πεπλανημένους, θείᾳ τετιμημένος ἀξίᾳ, ἐξ οὐκ ὄντων ἐγένετο, κατὰ τὴν δύσφημον γλῶσσαν ἐκείνην. ἀλλ' ἐπειδὴ ὁ ὢν πρὸ τῶν αἰώνων ἐγένετο ἄνθρωπος, τοὺς ἐξ οὐκ ὄντων γεγενῆσθαι λέγοντας τὸν Χριστὸν, τῆς σωτηρίας καὶ τῆς τῶν Χριστιανῶν ἐλπίδος ἐξέβαλον. καὶ ταῦτα μὲν οὕτως. ἵνα δὲ μὴ κατὰ τροπὴν θεότητος ἄνθρωπον τὸν μονογενῆ γεγονέναι νοήσωμεν, ἀναθεματίζουσι καὶ τοὺς λέγοντας, ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ

cunt, *quod antequam nasceretur non fuerit*. alienos quoque à salute nostrâ cõstituũt, qui Christum ex non existentibus extitisse asserunt. atqui si tãtũ homo fuerit, iuxta errores illos, divina dignitate honoratus, ex non existentibus secundum impiam illã linguam extitit. Sed quia ille, qui est ante sæcula, factus est homo, eos qui ex nõ existentibus Christum extitisse dicunt, à salute, & spe Christianorum reiiciunt. atque hæc quidem hoc modo. Verùm ne secundùm mutationem Deitatis Vnigenitum hominem factum intelligeremus, anathe-

Θεοῦ. οὐ γὰρ μεταβολὴ θεϊκῆς φύσεως τὸν μονογενῆ ἄνθρωπον ἔδειξεν, ἀλλ' οἰκονομία τὶς καὶ ἀπόρρητος θεοσοφίας θαυματουργία. τοῦτο γὰρ φαμὲν τὸ παράδοξον, ὅτι γέγονεν ἄνθρωπος ὁ Θεὸς μείνας Θεός. ὅπερ θαῦμα οἱ πεπλανημένοι κοινὸν πρᾶγμα δεῖξαι βουλόμενοι, λογισμοῖς ἐρευνῶσι τὰ ὑπὲρ ἔννοιαν. καὶ διὰ λόγων φιλονεικοῦντες τὸ παράδοξον καταλῦσαι, πρὸς ματαίων λογισμῶν ἐξετράπησαν ζήτησιν. μάταιος γὰρ ὄντως καὶ εἰκαῖος ἐστὶ, λόγοις ἐρευνᾷν τὰ ὑπὲρ λόγον θαυματουργούμενα.

matizant quoque qui mutabilem, vel variabilem filium Dei esse dicunt. neque enim transmutatio divinæ naturæ vnigenitũ hominem exhibuit: sed dispensatio quædam, & ineffabile divinæ Sapientię miraculum. hoc enim admirandũ esse dicimus, quod Deus factus sit homo, permanẽs Deus. quod miraculum dũ errãtes illi rem communem ostẽdere volunt, rationibus scrutantur, quod rationis captum superat. & verbis miraculum enervare contendentes ad inutilium rationum disquisitionem conuersi sunt. nam vanum revera, & teme-

merarium eſt, rationibus perſcrutari, quæ miraculosè ſupra rationem contigêre. Si enim omnia Dei miracula rationibus rimari, ac palpare velint, nullum ſanè relinquent miraculum, neque ullum à Deo ſignum & prodigium perpetrari concedent iſti naturę obſervatores omnia miracula vi detorquentes. nã rationes omniũ perveſtigare, eſt miracula diſſolvere, & Deũ in ſuis erga nos miraculis ſe ſe oblectantem ad iram provocare. Quocirca & Zachariam patrem Ioannis Baptiſtæ ſilentio Deus condemnabat, quod gratiæ miracu-

εἰ γὰρ ἅπαντα τοῦ Θεοῦ τὰ θαύματα μέλλοιεν λογισμοῖς ψηλαφᾷν, οὐδὲν μὲν θαυμάτων ἐάσουσιν. ἀλλ' οὐδὲ σημεῖον τι παρὰ Θεοῦ γίνεσθαι συγχωρήσουσι, καὶ τεράστιον οἱ φυσιολόγοι, ἅπαντα τὰ τεράστια βιαζόμενοι, ὃ γὰρ πάντων τοὺς λόγους ἐρευνᾷν, καταλύειν ἐστὶ θαύματα, καὶ παροργίζειν Θεὸν ἐν ταῖς θαυματουργίαις αὐτοῦ παρ' ἡμῖν εὐθυμούμενον. διὰ τοῦτο οὖν καὶ Ζαχαρίαν τὸν πατέρα Ἰωάννου τοῦ Βαπτιστοῦ σιωπῇ κατεδίκασεν ὁ Θεός, ὅτι χάριτος θαυματουργούσης ὁ Ζαχαρίας πολυπραγμονεῖ τὸν

losè

τρόπον, μὴ πιστεύσας ὡς θαύματι, ἀλλὰ λογισμοὺς τῆς τοῦ Θεοῦ θαυματουργίας ἐπιζητῶν. καὶ τοῦ Γαβριὴλ εἰπόντος. Ἐλίσαβετ ἡ γυνή σου, (ἦν δὲ στεῖρα) τέξεταί σοι Υἱόν. αὐτὸς ἐζήτει τῶν εἰρημένων ἀπόδειξιν, εἰπών. κατὰ τί γνώσομαι ὅτι ἔσται μοι τοῦτο; ἀλλ' ἐπειδὴ ᾔτησε τοῦ θαύματος τὴν ἀπόδειξιν, καταδικάζεται σιωπῇ. ἀπόδειξιν τῶν ζητουμένων τὴν τιμωρίαν δεξάμενος. καὶ κολάζεται γλῶσσα τῷ ἱερεῖ πρὸς ἀπιστίαν ὑπηρετήσασα. ἵνα ἡ σιωπὴ τοῦ Zαχαρίου διδάξῃ πάντας ἡμᾶς μετὰ σιωπῆς τὰ τοῦ

losè perpetratæ modum curiosiùs inquireret: non fidē adhibens tanquam miraculo, sed rationes miraculosæ operationis Dei exquirens, & dicente Gabriele; *Elisabeth uxor tua* (ea autem sterilis erat) *pariet tibi filium*: ipse eorum quæ dixerat rationem petit, dicens: *& unde hoc mihi futurum sciam?* sed quia demōstrationem miraculi quærebat, silentio condemnatur: demonstrationem eorum, quæ quæsiverat, silentium accipiens, & lingua Sacerdotis punitur, quæ subservierat ad incredulitatem; ut Zachariæ silentium nos omnes

doceret, Dei miracula cum silentio suscipere; omnibusq; persuaderet, Deo miracula perpetrãti credere; neque eorum, quæ novo modo supra rationem fiunt, rationes exquirere. Atque hæc quidem SS. Patres Nicęæ cõgregati de Vnigenito cognita habuerunt, & Ecclesias credere docuerunt. Cæterum de Spiritu Sãcto, quia nulla tunc quæstio erat, satis habuerunt majestatem Divinam indicare, dicẽtes paucis verbis; se juxtà Patrem, & Filium etiam in Spiritum Sanctum credere. nam qui dicunt, nos etiam in Spiritum Sanctũ credere, quemadmodum credimus in Patrem,

Θεοῦ παράδοξα δέχεσθαι. καὶ πείσῃ πάντας πιστεύειν θαυματουργοῦντι Θεῷ καὶ λόγον μὴ ἀπαιτεῖν τῶν ὑπὲρ πάντα λόγον καινουργουμένων. ταῦτα μὲν περὶ τοῦ μονογενοῦς οἱ ἐπὶ τῆς Νικαίας πατέρες ξυναχθέντες ἔγνωσάν τε καὶ τὰς Ἐκκλησίας πιστεύειν ἐδίδαξαν. περὶ δὲ τοῦ ἁγίου πνεύματος οὐκ οὔσης τότε ζητήσεως, ἠρκέσθησαν τὴν θεϊκὴν ἀξίαν μηνῦσαι βραχέσι τοῖς ῥήμασιν, εἰπόντες· μετὰ πατρὸς καὶ Υἱοῦ πιστεύειν καὶ εἰς τὸ ἅγιον πνεῦμα. οἱ γὰρ εἰπόντες, καὶ εἰς τὸ ἅγιον πνεῦμα πι-

&

πιστεύειν ἡμᾶς, ὡς πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν, ἴσην τῶν πιστευομένων τὴν ἀξίαν ἐμφαίνουσαι· ἡ γὰρ ὁμότιμος πίστις, ὁμότιμον τῶν πιστευομένων τὴν θεότητα δείκνυσι. οὐ γὰρ ἄν τις ὑπολάβοι διδάσκειν αὐτοὺς πιστεύειν ἡμᾶς εἰς δοῦλον ὁμοῦ, καὶ δεσπότην, ἢ εἰς κτίστην, καὶ εἰς κτίσμα, ἢ εἰς μείζονα Θεὸν, καὶ μικρόν. οἷς γὰρ οὐκ ἔστι τῆς φύσεως κοινωνία, τούτοις οὐκ ἂν παρὰ τῶν ἀνθρώπων μία πίστις ἁρμόσειε. ἀλλὰ ταῦτα μὲν ὡς ἐν παρέργῳ νῦν εἰρήσθω περὶ τοῦ πνεύματος

& Filium, æqualem dignitatem eorum, in quos creditur, ſignificant: nam fides honore, & dignitate æqualis, illorũ in quos creditur Deitatẽ honore æqualem oſtendit. nec enim quiſquã eos docere exiſtimet, nos in ſervum ſimul & dominum; vel in creatorem ſimul, & creaturam: vel in majorem, ac minorem Deum credere. nam quibus nõ intercedit ejuſdem naturę communio, iis ſanè neq; una eademque fides ab hominibus competit. Verùm illud obitèr nunc dictum ſit de Spiritu Sancto, de cujus divina majeſtate pleniùs in aliis tribus libris diſputavimus: quos, ſi legeris, Spiri-

Spiritum Sāctum pari honore cum Patre, & Filio cōglorificatum ex sacris literis disces. Nos verò hoc tēpore tibi, amicorum dilectissime, hæc orationis nostræ dona offerimus, qui quidem ex rei propositæ dignitate verba facere non possumus, attamen sufficientèr eos, qui nunc circa fidem errant, non quidem ex nostro fundo, atq; ex nobismetipsis, sed partim ex Sacra Scriptura, partim ex fide à SS. Patribus Nicææ congregatis exposita refutavimus.

τοῦ ἁγίου, ἐντελέστερον ἡμῖν περὶ τῆς θείκης δεσποτείας αὐτοῦ διηλεγμένων ἐν τρισὶν ἑτέροις βιβλίοις, οἷς ἐντυχὼν ξυνδοξαζόμενον πατρὶ καὶ Υἱῷ τὸ πνεῦμα τὸ ἅγιον παρὰ τῆς θείας διδαχθήσῃ γραφῆς. ἡμεῖς δέ σοι νῦν ταῦτα δῶρα τῶν ἡμετέρων ἀνατιθέμεθα λόγων, ὦ φίλη κεφαλὴ, πρὸς ἀξίαν μὲν τῆς διατάξεως εἰπεῖν οὐ δυνάμενοι, ἱκανὸν δὲ τὸν ἔλεγχον τῶν νῦν ἠπατημένων ἐκθέμενοι, οὐκ οἴκοθεν καὶ ἐξ αὐτῶν, ἀλλ' ἔκ τε τῆς θείας γραφῆς καὶ ἐκ τῆς ἐκτεθείσης πίστεως τῶν ἐπὶ τῆς Νικαίας ξυναχθέντων ἁγίων Πατέρων.

FINIS. ΤΕΛΟΣ.

LOCA
SCRIPTURAE,

Quæ citantur in hoc Opuſculo.

Pag. 3. *Superſeminavit zizania.* Mat. XIII. 25.

Pag. 4. *Ego ex Patre exivi, & veni in mundum.* Ioan. XVI. 28.

Pag. 6. *Ego, & Pater unum ſumus.* Ioan. X. 30.

Ibid. *Qui videt me, videt & Patrem.* Ioann. XIV. 9.

Ibid. *Quid me quæritis interficere, hominem qui veritatem locutus ſum vobis.* Ioann. VII. 20. & VIII. 40.

Pag. 9. *Prædicamus Dei Sapientiam in Myſterio abſconditam, quam nemo Principum hujus ſæculi cognovit. Si enim cognoviſſent, numquam Dominum Gloriæ crucifixiſſent.* 1. Corinth. 11. 7. 8.

Pag. 10. *Viri Iſraëlitæ quid miramini, &c.*

Act.

Act. III. 12. usque ad 15.

Pag. 14. *Omnia quæcumque voluit Dominus fecit* - Psal. cxxxiv. 6.

Pag. 15. *Misit Deus Filium suum factum ex muliere*. Galat. IV. 4.

Pag. 16. & 17. *Qui erubuerit me, & sermones meos, &c.* Luc. IX. 26.

Pag. 17. & 18. *Non enim erubesco Evangelium*. Rom. I. 16.

Pag. 18. & 19. *Christum enim prædicamus crucifixum, Iudæis quidem scandalum, &c.* 1. Cor. I. 23.

Pag. 20. *Quod enim infirmum est Dei fortius est hominibus. & quod stultum est Dei sapientius est hominibus.* 1. Cor. 25.

Pag. 25. & 26. *Unus est qui ascendit, idem qui & descendit, &c.* Ephes. IV. 9. 10.

Pag. 42. *Vocabis nomen ejus Iesum*. Luc. I. 31.

Pag. 43. *Cum ergo natus esset Iesus, &c.* Mat. II. I.

De qua natus est Iesus, qui vocatur Christus. Matt. I. 16.

Ibid.

Ibid. *Invenerunt Iesum in medio Doctorum*. Luc. 11. 46.

Pag. 47. *Si enim cognovissent numquam Dominum Gloriæ crucifixissent*. 11. Cor. 8.

Pag. 48. *Vnus Dominus Iesus, per quem omnia, &c.* 1. Cor. VIII. 6.

Pag. 51. & 52. *Viri Israëlitæ audite verba hæc: Iesum Nazarenum, &c.* Act. II. 22. *usque ad* 25.

Pag. 54. *Quem me dicunt homines filium hominis? Alij Ioannem, &c.* Mat. XVI. 13. 14.

Pag. 55. *Vos autem, quem me esse dicitis? cui respondēs Simon Petrus, &c.* Mat. XVI. 15. usque ad 17.

Pag. 56. *Beatus es Simon Bar-Iona, &c.* Mat. XVI. 17.

Pag. 70. *Conresuscitavit, & consedere fecit in Cælestibus* Ephes. II. 6.

Exinanivit semetipsum usque ad mortem, &c. Philipp. II. 7. 8.

Pag. 71. *Hoc enim sentite in vobis, quod & in Christo Iesu, &c.* Philipp. II. 5. us-

5. usque ad 8.

Pag. 81. *Didicit ex ijs, quæ passus est, obedientiam.* Hebr. v. 8.

Pag. 87. *Elisabeth uxor tua pariet tibi filium. & unde hoc mihi futurum sciam?* Luc. 1. 13. 18.

FINIS.

ERRATA IN GRAECIS.

PRæter admodum raras trajectiones literarum, perversiones interpunctiuncularum ac spirituum, & perpauca istiusmodi visu primo emendabilia, vix quidquam Eruditus Lector in Græcis erratum reperiet. Nam quod is suspicari posset: Pag. 13. v. 13. ἔδοξε pro ἔδειξε, Pag. 15. v. 14. ἀλύεις pro λύεις fuisse perperam positum; sciat: Nos quoque vidisse, Interpretem utrobique rectè putasse aliter legendum: tamen quia is contextum Græcum immutare non est ausus, ne Nos quidem id attentare sustinuisse.